950 κἑ. *ταῦτα*] αἱ βρονταὶ (πεδάρσιοι κτύποι) καὶ ὁ κεραυνός. — *οὐκ ἀνασχετά*: ὁ Σχολ. σημειούμενος «μὴ δυνάμενα ἐπανορθωθῆναι» φαίνεται ὅτι ἀνέγνω: *οὐκ ἰάσιμα*. Τὸ *οὐκ ἀνασχετὰ* σημαίνει ἀφορήτως ὀδυνηρά. Κατὰ ἀπόσπ. 180, 2 ὑβρισμοὺς οὐκ ἐναισίους, ἔνθα τὰ χειρόγραφα παρέχουσι *αἰνεσίους*, δύναταί τις νὰ εἰκάσῃ καὶ ἐν τῷ προκειμένῳ χωρίῳ: *οὐκ ἐναίσια* (πτῶσιν οὐχὶ εὐμενῆ καὶ πρᾷον). Πρβ. Σοφ. Ο. ἐ. Κ. 1482 ἐναισίου δὲ σοῦ τύχοιμι.

952. *τοῖον*] Διὰ τῶν τοῖος, τοιοῦτος, τοσοῦτος, τιθεμένων ἐν ἀρχῇ τῆς προτάσεως, ὥσπερ καὶ διὰ τῶν λατινικῶν talis, eiusmodi, tantus, προστίθεται μετὰ ταῦτα εἰς τὸ προηγησάμε-

ἐπ' αὐτὸς αὑτῷ, δυσμαχώτατον τέρας.
ὃς δὴ κεραυνοῦ κρείσσον' εὑρήσει φλόγα,
βροντῆς θ' ὑπερβάλλοντα καρτερὸν κτύπον·
θαλασσίαν τε γῆς τινάκτειραν βάθρων
τρίαιναν, αἰχμὴν τὴν Ποσειδῶνος, σκεδᾷ.
πταίσας δὲ τῷδε πρὸς κακῷ μαθήσεται

νον (951) ἀποτέλεσμα ἡ ἐν τῇ ποιότητι ἢ τῷ μεγέθει πράγματός τινος ὑπάρχουσα αἰτία. Πρβ. Πέρσ. 609, Εὐμ. 380 καὶ Σοφ. Αἴ. 560 οὔτοι σ' Ἀχαιῶν, οἶδα, μή τις ὑβρίσῃ . . . τοῖον πυλωρὸν φύλακα Τεῦκρον ἀμφί σοὶ λείψω.

953. *ἐπ' αὐτὸς αὑτῷ*] Ἰδὲ σημ. εἰς 788. — *δυσμαχώτατον*: τὰ μάλιστα δυσκαταγώνιστον τέρας καὶ οὐχὶ οἷον οἱ καταβληθέντες Τιτᾶνες. Ἐννοεῖται ὁ ἐκ τῆς Θέτιδος γεννηθησόμενος υἱός, ὅστις ἔμελλε νὰ ᾖ ὑπέρτερος τοῦ πατρός.

955. *ὑπερβάλλοντα βροντῆς*] κατὰ ἀναλογίαν τοῦ ὑπερφέρειν, ὑπερέχειν, προέχειν συντάσσεται καὶ τὸ ὑπερβάλλειν γενικῇ. Πρβ. Πλάτ. Γοργ. σελ. 475 C σκεψώμεθα, ἆρα λύπῃ ὑπερβάλλει τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι, ἔνθα ὁ Cobet θέλει νὰ ἐξαλείψῃ τὰς λέξεις τοῦ ἀδικεῖσθαι, καὶ Ἀριστοτ. τ. π. τ. ζ. ι. 2, 11 πολὺ ὑπερβάλλοντες τῶν περὶ τὰ λοιπὰ ὑπαρχόντων.

956 κέ. *θαλασσίαν τρίαιναν*] ὡς Εὐρ. Ἴωνι 282 πληγαὶ τριαίνης ποντίου.—*γῆς βάθρων τινάκτειραν*: (τὴν τὰ θεμέλια τῆς γῆς σείουσαν τρίαιναν) κατὰ τὸ ἐπίθετον *ἐννοσίγαιος* τοῦ Ποσειδῶνος. Πρβ. Σοφ. Τραχ. 502 Ποσειδάωνα τινάκτορα γαίας καὶ Εὐρ. Βάκχ. 585 πέδου χθονὸς ἔνοσι πότνια. — *σκεδᾷ*: δηλοῖ τὸ ῥᾴδιον τοῦ ἔργου. Οἱ στίχοι οὗτοι ὑπεμφαίνουσιν, ὅτι ὁ Αἰσχύλος μεθήρμοσεν πρὸς τὸν ἑαυτοῦ σκοπὸν τὴν παρὰ Πινδάρῳ φερομένην ἀρχαίαν μορφὴν τοῦ μύθου, καθ' ὃν ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν ζητοῦντες τὴν Θέτιν σύζυγον καὶ μαθόντες ὅτι ὁ τεχθησόμενος ἐξ αὐτῆς ἐπέπρωτο νὰ καταστῇ κραταιότερος τοῦ πατρός, ἔδωκαν τὴν θεὰν εἰς γάμον τῷ Πηλεῖ. Τάδε δὲ λέγει ὁ Πίνδαρος Ἰσθμ. 7, 27: Ζεὺς ὅτ' ἀμφὶ Θέτιος ἀγλαός τ' ἔρισαν Ποσειδᾶν γάμῳ, ἄλοχον εὐειδέ' ἐθέλων ἑκάτερος ἑὰν ἔμμεν· ἔρως γὰρ ἔχεν. ἀλλ' οὔ σφιν ἄμβροτοι τέλεσαν εὐνὰν θεῶν πραπίδες, ἐπεὶ θεσφάτων ἐπάκουσαν. εἶπε δ' εὔβουλος ἐν μέσοισι Θέμις, εἵνεκεν πεπρωμένον ἦν φέρτερον γόνον ἄν ἄνακτα πατρὸς τεκεῖν ποντίαν θεόν, ὃς κεραυνοῦ τε κρέσσον ἄλλο βέλος διώξει χερὶ τριόδοντός τ' ἀμαιμακέτου, Δί γε μισγομέναν ἢ Διὸς παρ' ἀδελφεοῖσιν. Παρὰ τῷ Πινδάρῳ, λόγον ποιουμένῳ περὶ τῶν δύο μνηστήρων, κατ' ἀνάγκην τῷ κεραυνῷ τοῦ Διὸς προστίθεται ἡ τρίαινα τοῦ Ποσειδῶνος, παρὰ τῷ Αἰσχύλῳ, παραλείποντι τὴν ὑπὸ τοῦ Ποσειδῶνος μνηστείαν τῆς Θέτιδος, ἠδύνατο νὰ παραλειφθῇ καὶ ἡ συντριβὴ τοῦ βέλους τοῦ θαλασσίου θεοῦ. Ἀλλ' ὅμως ὁ Αἰσχύλος διετήρησε τὸ εἰς τὸν Ποσειδῶνα ἀναφερόμενον δεύτερον τῆς προφητείας μέρος τὸ μὲν χάριν διακοσμήσεως καὶ ἐπιτάσεως τῆς ἐννοίας, τὸ δὲ διότι ἡ τῆς ἀρχῆς τοῦ Διὸς κατάλυσις ἐπάγεται καὶ τὴν τοῦ ἀδελφοῦ αὐτοῦ Ποσειδῶνος.

958κέ. *πταίσας δὲ τῷδε πρὸς κακῷ*] προσκρούσας δὲ εἰς ταύτην τὴν δυστυχίαν ἤτοι ἐκβληθεὶς τῆς ἀρχῆς ὑπὸ τοῦ κραταιοτέρου υἱοῦ.— *ὅσον .. δίχα*: πόσον διαφέρει ἡ ἀρχή, ἣν εἶχεν, τῆς δουλείας, εἰς ἣν ἐμπεσεῖται. Πρὸς τὸ *τέ-καί* συνδέοντα διάφορα πράγματα πρβ. Σοφ. Οἰ. ἐ. Κ. 808 χωρὶς τό τ' εἰπεῖν πολλὰ καὶ τὰ καίρια, Εὐρ.

ὅσον τό τ' ἄρχειν καὶ τὸ δουλεύειν δίχα.

ΧΟΡΟΣ.

σύ θην ἃ χρήζεις, ταῦτ' ἐπιγλωσσᾷ Διός.

ΠΡΟΜΗΘΕΥΣ.

ἅπερ τελεῖται, πρὸς δ' ἃ βούλομαι λέγω.

ΧΟΡΟΣ.

καὶ προσδοκᾶν χρὴ δεσπόσειν Ζηνός τινα;

ΠΡΟΜΗΘΕΥΣ.

καὶ τῶνδέ γ' ἕξει δυσλοφωτέρους πόνους.

ΧΟΡΟΣ.

πῶς δ' οὐχὶ ταρβεῖς τοιάδ' ἐκρίπτων ἔπη;

ΠΡΟΜΗΘΕΥΣ.

τί δ' ἂν φοβοίμην ᾧ θανεῖν οὐ μόρσιμον;

ΧΟΡΟΣ.

ἀλλ' ἆθλον ἄν σοι τοῦδ' ἔτ' ἀλγίω πόροι.

ΠΡΟΜΗΘΕΥΣ.

ὁ δ' οὖν ποιείτω· πάντα προσδοκητά μοι.

'Αλκ. 228 χωρὶς τό τ' εἶναι καὶ τὸ μὴ νομίζεται καὶ Ξενοφ. Ἱέρων 1, 2 πῇ διαφέρει ὁ τυραννικός τε καὶ ὁ ἰδιωτικὸς βίος.

960. *θήν*] ὄντως, βεβαίως, εὐχρηστεῖ μάλιστα παρὰ τοῖς ἐπικοῖς ποιηταῖς. Πρβ. Κρυγ. Β' § 69, 38.—*ἐπιγλωσσᾷ*: ἐν κακογλωσσίᾳ λέγεις, λοιδορεῖς. Σχολ. «τῇ γλώττῃ κατηγορεῖς· ἐποιωνίζῃ κατὰ τοῦ Διὸς ἃ βούλει γενέσθαι αὐτῷ». Πρβ. Ἡσυχ. «ἐπιγλωσσῶ· ἐποιωνίζου διὰ γλώσσης. Αἰσχύλος Ἡρακλείδαις», Χο. 1043 μηδ' ἐπιζευχθῇς στόμα φήμῃ πονηρᾷ μηδ' ἐπιγλωσσῶ κακά, 'Αριστοφ. Λυσιστρ. 37 περὶ τῶν 'Αθηνῶν οὐκ ἐπιγλωττήσομαι τοιοῦτον οὐδέν, Πολυδ. 2,109 «καὶ οὐκ ἐπιγλωττήσομαι ἤγουν οὐ λοιδορήσομαι», Φώτ. σελ. 359, 10 «οὐκ ἐπιγλωττήσομαι· οὐ βλασφημήσω». Ὁ δὲ λόγος κεῖται οὐχὶ «κατ' ἐρώτησιν», καθὰ νομίζει ὁ Σχολιαστής.

961. *τελεῖται*] ἐκληπτέον ὡς ἐνεστώς, οὐχὶ ὡς μέλλων. Πρβ. σημ. εἰς 529.—*πρὸς δὲ*: πρβ. σημ. εἰς 73 καὶ Κρυγ. Α' § 68, 2, 2.

963. *τῶνδε*] τῶν ἐμῶν. — *δυσλοφωτέρους*: Ἡσύχιος «δύσλοφον· δύσκολον, οὐχ ἁρμόζον τῷ λόφῳ· οἱ δὲ τὸ χαλεπῶς φερόμενον, ἀπὸ τῶν λόφων, οἵ εἰσι τράχηλοι».

964. *τοιάδ' ἐκρίπτων* (ὡς ῥίψεις 328) *ἔπη*] Ἐνταῦθα ἀνήκει τὸ εἰς στίχ. 967 τεθὲν Σχόλιον «οὕτως ὑπερηφάνως καὶ ἀφόβως εἶπεν» (ἀναγν. εἰπών).

965. *ᾧ θανεῖν οὐ μόρσιμον*] ᾧ θανεῖν οὐ πέπρωται. Ἐν ὁμοίᾳ ἐννοίᾳ λέγει τοῦτο ὁ Προμηθεὺς περὶ ἑαυτοῦ στίχ. 1086, ἐν ἑτέρᾳ δὲ 779 καὶ Προμ. λυ. ἀποσπ. 193, 24. Περὶ τῶν ἀντιφάσεων τούτων ἔπιθι σημ. εἰς 971.

966. Πρβ. 329 κέ.

967. *ποιείτω*] Ἰδὲ σημ. εἰς 253.

ΧΟΡΟΣ.

οἱ προσκυνοῦντες τὴν Ἀδράστειαν σοφοί.

ΠΡΟΜΗΘΕΥΣ.

σέβου, προσεύχου, θῶπτε τὸν κρατοῦντ' ἀεί.
ἐμοὶ δ' ἔλασσον Ζηνὸς ἢ μηδὲν μέλει.

968. *οἱ προσκυνοῦντες τὴν Ἀδράστειαν σοφοί*] ἤτοι οἱ ἀποφεύγοντες μεγάλους καὶ ὑπερηφάνους λόγους εἶναι σοφοί. Ἦν δὲ ἡ Ἀδράστεια ἡ αὐτὴ τῇ Νεμέσει. Ἡσύχ. « Ἀδραστία· ἡ Νέμεσις, ἣν οὐκ ἄν τις ἀποδράσειεν ». Τὸ ὄνομα τοίνυν Ἀδράστεια (ἰων. Ἀδρήστεια) γίνεται ἀπὸ τοῦ ἄδραστος (ἄδρηστος) = ἄφυκτος, ἀναπόδραστος. Πρб. Καρνοῦτον, ὅστις ταυτίζων τὴν Ἄτροπον πρὸς τὴν Ἀδράστειαν λέγει π. φύ. θε. 13 « αὕτη δέ (ἡ Ἄτροπος) ἐστι καὶ Ἀδράστεια· ἤτοι παρὰ τὸ ἄφυκτος καὶ ἀναπόδραστος » καὶ Ἑρμίαν εἰς Πλάτ. Φαῖδρ. παρ' Ὀρφικοῖς (ἐκδ. Hermann) σελ. 506 « Ἀδράστεια κεκλημένη διὰ τὸ τὰ ὑπ' αὐτῆς τεθέντα καὶ νομοθετηθέντα ἀναπόδραστα εἶναι ». Σημειωτέον δὲ ὅτι ἕτεροι τῶν ἀρχαίων γραμματικῶν, ὁ Ἁρποκρατίων καὶ Σουΐδας λέξ. Ἀδράστεια, ὁ Εὐστάθιος εἰς Ἰλ. σελ. 355, 12, ὁ Ἀποστόλιος 1, 40, μνημονεύουσιν ὅτι ἡ Ἀδράστεια ὠνομάσθη ἀπὸ τοῦ Ἀδράστου. Πρб. καὶ Στράβ. 13 σελ. 588 : φησὶ δὲ καὶ Καλλισθένης ἀπὸ Ἀδράστου βασιλέως, ὃς πρῶτος Νεμέσεως ἱερὸν ἱδρύσατο, καλεῖσθαι Ἀδράστειαν. — Ὁ δὲ φοβούμενος μὴ δι' ὑπερηφάνου ἢ τολμηροῦ λόγου ἐπισπάσηται τὸν φθόνον τῆς θεότητος (πρб. Ἀγ. 938 μή τις πρόσωθεν ὄμματος βάλοι φθόνος) ἔλεγεν : προσκυνῶ τὴν Νέμεσιν ἢ τὴν Ἀδράστειαν. Πρб. Δημοσθ. κ. Ἀριστογ. 1 § 37 : Ἀδράστειαν ἄνθρωπος ὢν ἐγὼ προσκυνῶ, Πλάτ. Πολιτεί. 5 σελ. 451 Α : προσκυνῶ δὲ Ἀδράστειαν, ὦ Γλαύκων, χάριν οὗ μέλλω λέγειν, Ἀλκίφρ. 1, 33 προσκυνῶ δὲ τὴν Νέμεσιν, Σοφ. Φιλ. 776 τὸν φθόνον δὲ πρόσκυσον, Εὐρ. Ῥῆσ. 342 Ἀδράστεια μὲν ἁ Διὸς παῖς εἴργοι στομάτων φθόνον, 468 σὺν δ' Ἀδραστείᾳ λέγω . . . ξὺν σοὶ στρατεύειν γῆν ἐπ' Ἀργείων θέλω καὶ πᾶσαν ἐλθὼν Ἑλλάδ' ἐκπέρσαι δορί. Τούτων οὕτως ἐχόντων, οὐχὶ ὀρθῶς ὁ Naegelsbach (Nachhomer. Theol. σελ. 48) καὶ ὁ F. Tournier (Némesis et la Jalousie des Dieux σελ. 227) ὑπέλαβον ὅτι ἡ Ἀδράστεια ἐνταῦθα σημαίνει τὴν Ἀνάγκην.

969. *σέβου προσεύχου*] ἔχουσιν ἀντικείμενον οὐχὶ *τὸν κρατοῦντα*, ἀλλὰ κεῖνται ἀπολύτως ἐν ἀναφορᾷ πρὸς τὸ προσκυνοῦντες, ὥσπερ 408 στέλλου κομίζου, σῷζε τὸν παρόντα νοῦν. Διὰ ταῦτα ἀποδοκιμαστέον τὴν γνώμην τοῦ Rutherford, γράφοντος *σὺ μὲν* ἀντὶ *σέβου*. — *θῶπτε* : Σχολ « θώπευε ». Πρб. Ἡσύχ. « θώψεις· θωπεύσεις· Αἰσχύλος Σισύφῳ πετροκυλιστῇ ». — *τὸν κρατοῦντ' ἀεί* : τὸν ἀεὶ κρατοῦντα, τὸν ἑκάστοτε ἄρχοντα. Πρб. Εὐρ. Ὀρ. 889 ὑπὸ τοῖς δυναμένοισιν ὢν ἀεί, Ἀριστοφ. Σφηξ. 1318 κωμῳδολοιχῶν περὶ τὸν εὖ πράττοντ' ἀεί, Πλοῦτ. 1026 φάσκων βοηθεῖν τοῖς ἀδικουμένοις ἀεί.

970. *ἔλασσον ἢ μηδέν*] πρб. Πλάτ. Θεαιτ. σελ. 179 Ε ἧττον αὐτοῖς ἔνι ἢ τὸ μηδέν. Ἡ ἀφῃρημένη ἔννοια ἐκφράζεται διὰ τοῦ *μηδέν*. Πρб. Σοφ. Αἴ. 1231 ὅτ' οὐδὲν ὢν τοῦ μηδὲν (ὄντος) ἀντέστης ὕπερ, 1275 ἤδη τὸ μηδὲν ὄντας, Ἠλ. 1166 τὴν μηδὲν (οὖσαν) ἐς τὸ μηδέν, Εὐρ. Κύκλ. 355 ἄλλως νομίζῃ Ζεὺς τὸ μηδὲν ὢν θεός.

δράτω, κρατείτω τόνδε τὸν βραχὺν χρόνον
ὅπως θέλει· δαρὸν γὰρ οὐκ ἄρξει θεοῖς.
'Αλλ' εἰσορῶ γὰρ τόνδε τὸν Διὸς τρόχιν,
τὸν τοῦ τυράννου τοῦ νέου διάκονον,
πάντως τι καινὸν ἀγγελῶν ἐλήλυθεν.

ΕΡΜΗΣ.

σὲ τὸν σοφιστήν, τὸν πικρῶς ὑπέρπικρον,
τὸν ἐξαμαρτόντ' εἰς θεοὺς ἐφημέροις
πορόντα τιμάς, τὸν πυρὸς κλέπτην λέγω·
πατὴρ ἄνωγέ σ' οὔστινας κομπεῖς γάμους
αὐδᾶν, πρὸς ὧν ἐκεῖνος ἐκπίπτει κράτους·
καὶ ταῦτα μέντοι μηδὲν αἰνικτηρίως,
ἀλλ' αὔθ' ἕκαστ' ἔκφραζε· μηδέ μοι διπλᾶς

971. *δράτω κρατείτω*] Πρβ. 'Αγ 1669 πρᾶσσε, πιαίνου μιαίνων τὴν δίκην, ἐπεὶ πάρα, Σοφ. 'Αντ. 768 δράτω, φρονείτω μεῖζον ἢ κατ' ἄνδρ' ἰών.

972. *δαρὸν*] ἐπὶ πολύ. — *ἄρξει θεοῖς*: Ἔπιθι σημ. εἰς 49.

973. Πρβ. Εὐρ. 'Εκ. 724 ἀλλ' εἰσορῶ γὰρ τοῦδε δεσπότου δέμας 'Αγαμέμνονος, τοὐνθένδε σιγῶμεν, φίλαι. Ὥσπερ δὲ ἐν τῷ Εὐριπίδῃ τὸ σιγῶμεν, οὕτως ἐν τῷ προκειμένῳ χωρίῳ τὸ ἀγγελῶν ἐλήλυθε = ἐπειδὴ προσέρχεται ὁ ἀγγελιοφόρος τῶν θεῶν, πάντως ἀκουσόμεθά τι νέον. Περὶ τῆς ἐν ταῖς τοιαύταις προτάσεσιν παραλείψεως τοῦ γὰρ ἔπιθι σημ. εἰς Πέρσ. 153. — *τρόχιν*: Σχολ. «ἄγγελον, ἀπὸ τοῦ τρέχειν». Πρβ. 'Ησύχ «τρόχις, ἄγγελος, ἀκόλουθος». Μετὰ περιφρονήσεως καλεῖ ὁ Προμηθεὺς τὸν ἄγγελον τῶν θεῶν *Διὸς τρόχιν*, καθὰ καὶ ἐν τοῖς ἑπομένοις πολλαχῶς δεικνύει αὐτῷ τὴν περιφρόνησιν ταύτην. Ἡ δήλωσις *Διὸς τρόχις* ἀντικαθίστησι τοῖς θεαταῖς τὸ ὄνομα τοῦ 'Ερμοῦ. Σημειωτέον δὲ ὅτι τὸ τρόχις ὑποδηλοῖ ὅτι ὁ 'Ερμῆς ἦν ὑποδεδεμένος τὰ πτερωτὰ πέδιλα καὶ ὅτι κατέβη ἐκ τοῦ ὕψους εἰς τὴν σκηνὴν διὰ τοῦ αἰωρήματος (πρβ. σημ. εἰς 300).

976 - 1071. *Δευτέρα τῆς ἐξόδου σκηνὴ* μεταξὺ τοῦ Προμηθέως καὶ τοῦ 'Ερμοῦ ἀναπτύσσουσα τὴν καταστροφήν.

976. *τὸν πικρῶς ὑπέρπικρον*], ὡς ἀκριβῶς περισσόφρων 344. Περὶ τῆς ἐπιτάσεως ταύτης τῆς ἐννοίας πρβ. 'Ομ. 'Ιλ. 7, 39 οἰόθεν οἶος, 97 αἰνόθεν αἰνῶς καὶ σημ. εἰς Πέρσ. 796 ὑπερπόλλους ἄγαν.

977. *ἐξαμαρτόντ' εἰς θεοὺς*] πρβ. 82. — *πορόντα*: μετοχὴ τροπικὴ ἠρτημένη ἐκ τοῦ *ἐξαμαρτόντα*: ὅστις ἐξήμαρτες εἰς τοὺς θεοὺς παρασχὼν τοῖς ἀνθρώποις εὐεργεσίας. — *τιμάς*: Πρβ. 29 καὶ Εὐμ. 172 παρὰ νόμον θεῶν βρότεα μὲν τίων.

980. *πρὸς ὧν ... κράτους*] Εἶναι λόγοι τοῦ Προμηθέως, οὓς χλευαστικῶς ἐπαναλαμβάνει ὁ 'Ερμῆς. Περὶ τοῦ ἐνεστῶτος ἐκπίπτει ἔπιθι σημ. εἰς 529.

981. *μηδὲν αἰνικτηρίως*] μηδαμῶς αἰνιγματωδῶς Πρβ. 637.

982 κἑ. *αὔθ' ἕκαστα*] καθ' ἓν ἕκαστον. Πρβ. Εὐρ. 'Ορ. 1393 σαφῶς

ὁδούς, Προμηθεῦ, προσβάλῃς· ὁρᾷς δ' ὅτι
Ζεὺς τοῖς τοιούτοις οὐχὶ μαλθακίζεται.

ΠΡΟΜΗΘΕΥΣ.

σεμνόστομός γε καὶ φρονήματος πλέως
ὁ μῦθός ἐστιν, ὡς θεῶν ὑπηρέτου.
νέον νέοι κρατεῖτε καὶ δοκεῖτε δὴ
ναίειν ἀπενθῆ πέργαμ'· οὐκ ἐκ τῶνδ' ἐγὼ
δισσοὺς τυράννους ἐκπεσόντας ᾐσθόμην;
τρίτον δὲ τὸν νῦν κοιρανοῦντ' ἐπόψομαι
αἴσχιστα καὶ τάχιστα. μή τί σοι δοκῶ

λέγ' ἡμῖν αὖθ' ἕκαστα τὰν δόμοις, Φοιν. 494 ταῦτ' αὖθ' ἕκαστα, μῆτερ, οὐχὶ περιπλοκὰς λόγων ἀθροίσας εἶπον. — *μηδὲ . . . προσβάλῃς*: Σχολ. «ὃ ἐστι μὴ κάματόν μοι διπλοῦν προξενήσῃς δεύτερόν με ποιῶν ὑποστρέψαι», διότι ἐὰν ἀσαφῶς εἴπῃς, πέμψει με πάλιν ὁ Ζεὺς πρὸς σέ, ἵνα σαφῶς εἴπῃς.

984. *τοῖς τοιούτοις*] Σχολ. «τοῖς μὴ πειθομένοις αὐτῷ». Ἀλλὰ τὸ *τοιούτοις* εἶναι οὐδέτερον καὶ ἀναφέρεται εἰς τὰς λοξοδρομίας καὶ ὑπεκφυγὰς μακρῶν διαπραγματεύσεων. Ὁ νοῦς: ἐπειδὴ ὁ Ζεὺς δὲν καταπραΰνεται διὰ ὑπεκφυγῶν καὶ ἀτελῶν ὁμολογιῶν, μὴ ἐπιχειρήσῃς τοιούτοις τεχνάσμασι, διότι ταῦτα οὐδὲν ἕτερον ἀποτέλεσμα ἕξουσιν ἢ διπλῆν εἰς ἐμὲ πορείαν. — Περὶ τῆς βραχύτητος τῆς πρώτης συλλαβῆς τοῦ *τοιούτοις* ἔπιθι σημ. εἰς 253.

985 κέ. *σεμνόστομός γε*] πλήρης σεμνοτυφίας καὶ φρονήματος εἶναι ὁ λόγος αὐτοῦ ἐπαιρομένου ἐπὶ τούτῳ, ὅτι εἶναι ὑπηρέτης τῶν θεῶν. Πρβ. Εὐρ. Τρῳάσ. 424 ἦ δεινὸς ὁ λάτρις· τί ποτ' ἔχουσι τοὔνομα κήρυκες; ἓν ἀπέχθημα πάγκοινον βροτοῖς οἱ περὶ τυράννους καὶ πόλεις ὑπηρέται. Πρὸς δὲ τὴν ῥῆσιν πρβ. Σιμων. ἀπόσπ. 75 ὁ δὲ μῦθος ὅδε κενεόφρων.

987 κέ. *νέον νέοι κρατεῖτε*] Πρβ. σημ. εἰς στ. 35. — *ἀπενθῆ*: μετενήνεκται ἀπὸ τοῦ προσώπου εἰς τὸ πρᾶγμα. Ἔπιθι σημ. εἰς 113 καὶ 115. — *πέργαμα*: Σχολ. «πέργαμα ἁπλῶς τὰς οὐρανοῦ ἀκρωρείας· κατεχρήσατο δέ», Εὐστάθ. εἰς Ὁμ. Ἰλ. 503, 3 «Ὅμηρος μὲν μόνην τὴν τῆς Ἰλίου ἀκρόπολιν Πέργαμον ὀνομάζει θηλυκῶς, οἱ δὲ νεώτεροι πάσας τὰς ἀκροπόλεις οὕτω καλοῦσιν, οἳ καὶ οὐδετέρως τὰ Πέργαμά φασιν, ὡς καὶ Αἰσχύλος Προμηθεῖ». Πρβ. Εὐρ. Φοιν. 1098 περγάμων ἀπ' ὀρθίων (περὶ τῆς ἀκροπόλεως τῶν Θηβῶν), αὐτόθι 1176 κατ' ἄκρων περγάμων ἑλεῖν πόλιν, Σοφ. Φιλ. 353 καὶ 611 τἀπὶ Τροίᾳ πέργαμα καὶ Servius εἰς Verg. Aen. I 95: propter Pergama quae altissima fuerunt, ex quibus omnia alta aedificia pergama vocantur sicut Aeschylus dicit. — *ἐκ τῶνδε*: τῶν περγάμων.

989. *δισσοὺς τυράννους*] Σχολ. «πρώτους τοὺς περὶ Ὀφίωνα καὶ Εὐρυνόμην, δεύτερον τοὺς περὶ Κρόνον». Ἀλλ' ὅμως διανοητέον τὸν Οὐρανὸν καὶ τὸν Κρόνον (πρβ. 175, 221) ἐνταῦθά τε καὶ Ἀγ. 178 οὐδ' ὅστις πάροιθεν ἦν μέγας παμμάχῳ θράσει βρύων, οὐδὲ λέξεται πρὶν ὤν· ὃς δ' ἔπειτ' ἔφυ, τριακτῆρος οἴχεται τυχών, ἔνθα ὁ Σχολ. ὑπομιμνήσκει τὸν Τυφωέα καὶ τοὺς Τιτᾶνας. Πρβ. Ἡσ. Θεογ. 154. κέ.

991 *αἴσχιστα καὶ τάχιστα*] δηλ. ἐκπεσόντα ἢ ἐκπίπτοντα. — Ὁ Her-

ταρβεῖν ὑποπτήσσειν τε τοὺς νέους θεούς;
πολλοῦ γε καὶ τοῦ παντὸς ἐλλείπω. σὺ δὲ
κέλευθον ἥνπερ ἦλθες ἐγκόνει πάλιν·
πεύσῃ γὰρ οὐδὲν ὧν ἀνιστορεῖς ἐμέ.

ΕΡΜΗΣ.

τοιοῖσδε μέντοι καὶ πρὶν αὐθαδίσμασιν
ἐς τάσδε σαυτὸν πημονὰς καθώρμισας.

ΠΡΟΜΗΘΕΥΣ.

τῆς σῆς λατρείας τὴν ἐμὴν δυσπραξίαν,
σαφῶς ἐπίστασ', οὐκ ἂν ἀλλάξαιμ' ἐγώ.

ΕΡΜΗΣ

κρεῖσσον γὰρ οἶμαι τῇδε λατρεύειν πέτρᾳ

werden εἰκάζει οὐχὶ ἀπροσφυῶς *κάκιστα* ἀντὶ *τάχιστα*. Τὸ ὁμοιοτέλευτον τῶν λέξεων ἐπιτείνει τὴν εἰρωνείαν. Πρβ. 496, 718, 919 κἑ, Σοφ. Ἀντ. 1327 βράχιστα γὰρ κράτιστα τἀν ποσὶν κακά.—*μή* (ἆρα μή, μῶν) *τί σοι δοκῶ*: ὡς Πέρσ. 347 μή σοι δοκοῦμεν τῇδε λειφθῆναι μάχῃ;

993. Σχολ. «πολλοῦ με δεῖ πρὸς τὸ ταρβεῖν, μᾶλλον δὲ τοῦ παντός» καὶ «σημείωσαι πολλοῦ ἐλλείπω ἀντὶ τοῦ πολλοῦ γε καὶ δεῖ ἢ πολλοῦ γε καὶ δέω». Πρβ. 1038.

994. *ἐγκόνει*] ἐπείγου, σπεύδων ἀπέρχου. Τὸ ῥῆμα τοῦτο, ὃ κυριολεκτεῖται περὶ τῶν ταχέως τρεχόντων καὶ κόνεως πληρουμένων (Πρβ. Σοφ. Αἴ. 811 χωρῶμεν, ἐγκονῶμεν, 988 ἐγκόνει, σύγκαμνε, Τραχ. 1255 ἄγ' ἐγκονεῖτ', ἄρασθε, Εὐρ. Ἑκ. 507 σπεύδωμεν, ἐγκονῶμεν, Ἡρακλ. 521 ἴτ', ἐγκονεῖτε καὶ Ἀριστοφ. Πλοῦτ. 254 ἴτ', ἐγκονεῖτε σπεύδετε) κεῖται ἐνταῦθα ἐν περιφρονήσει καὶ ἐν ὑπαινιγμῷ πρὸς τὸν τρόχιν.

995. Πρβ. Σοφ. Ο. ἐ. Κ. 991 ἓν γάρ μ' ἄμειψαι μοῦνον ὧν σ' ἀνιστορῶ. Σημειωτέον δὲ ὅτι ἡ ἔλξις *οὐδὲν ὧν*, ἥτις εἶναι συχνὴ παρὰ Σοφοκλεῖ καὶ Εὐριπίδῃ, ἀπαντᾷ παρ' Αἰσχύλῳ ἐνταῦθα μόνον καὶ 1016.—Ἡ ἀπόκρισις τοῦ Προμηθέως, ἀρχομένη ἀπὸ τοῦ στίχ. 987, περιλαμβάνει ἀριθμὸν (9) στίχων ἴσον πρὸς τὸν λόγον τοῦ Ἑρμοῦ (976-984). Ὡσαύτως δὲ ἐν τοῖς ἑπομένοις ἔχομεν ἀκριβῆ συμμετρίαν ἤτοι πρῶτον μὲν 2:2, 2:2, εἶτα δὲ 1:2, 1:2 καὶ τέλος 1:1, 1:1 καὶ καθεξῆς.

997. *καθώρμισας*] ἐνέβαλες καὶ ἐνέδησας. Πρβ. Εὐρ. Ἡρακλ. 1094 δεσμοῖς ναῦς ὅπως ὡρμισμένος πρὸς ἡμιθραύστῳ λαΐνῳ τυκίσματι ἧμαι, Ἀριστοφ. Θεσμοφ. 1105 τίν' ὄχθον τόνδ' ὁρῶ καὶ παρθένον θεαῖς ὁμοίαν ναῦν ὅπως ὡρμισμένην. Τὸ πλοῖον στερεοῦται διὰ τῶν πρυμνησίων κάλων. Οὕτω τοίνυν κεῖται τὸ καθώρμισας οὐ μόνον εἰκονικῶς, ὡς τὸ ἐνέζευγμαι 108, ἀλλ' ἐν πικρᾷ εἰρωνείᾳ ὑπαινίσσεται τὰ δεσμά, οἷς προσπεπασσάλευται, καθὰ ἐν ἀποσπ. τοῦ Προμ. λυομ. περιγράφει ὁ Προμηθεὺς οἰκτρῶς τὴν ἑαυτοῦ κατάστασιν λέγων: vinctumque saxis, navem ut horrisono freto noctem paventes timidi adnectunt navitae.

998. Δὲν θὰ ἤλλασσον τὴν ἐμὴν δυσπραξίαν ἀντὶ τοῦ ὑπηρετεῖν τῷ Διί.

1000. *οἶμαι*] ὑπεμφαίνει τὴν εἰρωνείαν τῆς ἐννοίας.—*λατρεύειν*: πρβ.

ἢ πατρὶ φῦναι Ζηνὶ πιστὸν ἄγγελον.

ΠΡΟΜΗΘΕΥΣ.

*　　*　　*　　*　　*　　*　　*

οὕτως ὑβρίζειν τοὺς ὑβρίζοντας χρεών.

ΕΡΜΗΣ

χλιδᾶν ἔοικας τοῖς παροῦσι πράγμασιν.

ΠΡΟΜΗΘΕΥΣ

χλιδῶ; χλιδῶντας ὧδε τοὺς ἐμοὺς ἐγὼ
ἐχθροὺς ἴδοιμι· καὶ σὲ δ' ἐν τούτοις λέγω.

ΕΡΜΗΣ.

ἦ κἀμὲ γάρ τι συμφοραῖς ἐπαιτιᾷ;

ΠΡΟΜΗΘΕΥΣ.

ἁπλῷ λόγῳ τοὺς πάντας ἐχθαίρω θεούς,
ὅσοι παθόντες εὖ κακοῦσί μ' ἐκδίκως.

σημ. εἰς 479. Ἐπειδὴ ὁ Προμηθεὺς διατελεῖ χλευάζων τὸ ὑπηρετικὸν τοῦ ἀγγελιοφόρου τῶν θεῶν, διὰ τοῦτο μεταχειρίζεται καὶ ὁ Ἑρμῆς τὸ *λατρεύειν* ἐν σαρκαστικῇ ἐννοίᾳ, καθ' ἣν ὁ προσδεδεμένος τῷ κρημνῷ χαρακτηρίζεται ὡς ὑποτελὴς καὶ ἐξαρτώμενος αὐτοῦ. Ἡ ἀντίθεσις τῆς φύσεως ἑκατέρου ἄρχοντος ὑπεμφαίνεται καὶ ἐξωτερικῶς διὰ τῆς ἀναστροφῆς τῶν φωνηέντων ἐν τῷ *πέτρᾳ - πατρί*.

1002. Οὐ μόνον ἡ συμμετρία, ἀλλὰ καὶ ἡ ἔλλειψις ἐννοίας, εἰς ἣν ἀναφέρεται τὸ *οὕτως ὑβρίζειν*, μηνύει, ὅτι ἐξερρύη εἷς στίχος ἔχων περίπου τοιάνδε μορφήν: *θρασὺν μὲν οὖν κήρυκα καὶ δοῦλον θεῶν*. Μετά τινος τοὐλάχιστον βεβαιότητος δύναταί τις νὰ ὑπολάβῃ, ὅτι ὁ χλευασμὸς ἀπηυθύνετο κατὰ τῆς καταφρονουμένης τάξεως τῶν κηρύκων.

1003. *χλιδᾶν*] Σχολ. «τρυφᾶν, ἀνίεσθαι». Πρβ. 452.

1004. Πρβ. σημ. εἰς 890 καὶ Σοφ. Τραχ. 819 τὴν δὲ τέρψιν ἣν τὠμῷ δίδωσι πατρί, τήνδ' αὐτὴ λάβοι, Φιλ. 794 Ἀγάμεμνον, ὦ Μενέλαε, πῶς ἂν ἀντ' ἐμοῦ τὸν ἴσον χρόνον τρέφοιτε τήνδε τὴν νόσον;

1005. *καὶ σὲ δέ*] Ἔπιθι σημ. εἰς Πέρσ. 156 καὶ προσφθόγγοις δέ, καὶ Κρυγ. Α' § 69,10 καὶ Β' § 69,11,2.

1006. Ἠδύνατό τις νὰ ἀναμείνῃ *συμφορᾶς*. Ἀλλ' ἡ δοτικὴ κεῖται ὡς δοτικὴ τῆς αἰτίας: διὰ τὰς σὰς συμφοράς. Πρβ. Χο. 80 δακρύω δ' ὑφ' εἱμάτων ματαίοισι δεσπόταν τύχαις, Εὐμ. 720 ἦ καὶ πατήρ τι σφάλλεται βουλευμάτων πρωτοκτόνοισι προστροπαῖς Ἰξίονος, Εὐρ. Μηδ 1286 πίτνει δ' ἁ τάλαιν' ἐς ἅλμαν φόνῳ τέκνων δυσσεβεῖ, Ἡρακλ. 474 θράσος μοι μηδὲν ἐξόδοις ἐμαῖς προσθῆτε.

1007. *ἁπλῷ λόγῳ*] Πρβ. 46. — Παρῳδία τοῦ στίχου τούτου ἀπαντᾷ παρ' Ἀριστοφ. Ὄρν. 1547 μισῶ δ' ἅπαντας τοὺς θεούς, ὡς οἶσθα σύ. Πρβ. 455.

1008. *παθόντες εὖ*] Σχολ. «συνῆλθον γὰρ αὐτοῖς κατὰ τῶν Τιτάνων».

ΕΡΜΗΣ.

κλύω σ' ἐγὼ μεμηνότ' οὐ σμικρὰν νόσον.

ΠΡΟΜΗΘΕΥΣ.

νοσοῖμ' ἄν, εἰ νόσημα τοὺς ἐχθροὺς στυγεῖν.

ΕΡΜΗΣ.

εἴης φορητὸς οὐκ ἄν, εἰ πράσσοις καλῶς.

ΠΡΟΜΗΘΕΥΣ.

ὤμοι.

ΕΡΜΗΣ.

ὤμοι, τόδε Ζεὺς τοὔπος οὐκ ἐπίσταται.

ΠΡΟΜΗΘΕΥΣ.

ἀλλ' ἐκδιδάσκει πάνθ' ὁ γηράσκων χρόνος.

ΕΡΜΗΣ.

καὶ μὴν σύ γ' οὔπω σωφρονεῖν ἐπίστασαι.

ΠΡΟΜΗΘΕΥΣ.

σὲ γὰρ προσηύδων οὐκ ἂν ὄνθ' ὑπηρέτην.

1009. Συνῳδὰ τῇ ὀργῇ μεταπίπτει ὁ λόγος εἰς στιχομυθίαν.—*κλύω σ' ἐγὼ μεμηνότα*: ἐκ τοιούτων λόγων αἰσθάνομαι, ὅτι μέμηνας βαρεῖαν νόσον τῆς μανίας. — *μεμηνότα νόσον*: ὡς νοσοῦντα νόσον μανίας ἢ μεμηνότα μανίαν. Πρβ. Κρυγ. Β' § 46, 6.

1011. *οὐκ ἂν εἴης φορητός κτλ.*] ἀφόρητος θὰ ἦσο, ἐὰν ηὐτύχεις. Πρβ. ἀποσπ. 398 κακοὶ γὰρ εὖ πράσσοντες οὐκ ἀνασχετοί. Σχολ. «εἰ τοσούτοις συνὼν κακοῖς θρασύνῃ, τί ποτ' ἂν ἔδρασας εὐτυχῶν;».

1012. *τόδε τοὔπος*] Σχολ. ν. «τὸ ὤμοι». Πρβ. Πέρσ. 125 ὀᾶ, τοῦτ' ἔπος γυναικοπληθὴς ὅμιλος ἀπύων, Ἀγ. 455 ἀλλοτρίας διαὶ γυναικός, τάδε σῖγά τις βαΰζει, 1333 μηκέτ' ἐσέλθῃς, τάδε φωνῶν, Χο. 313 δράσαντι παθεῖν, τριγέρων μῦθος τάδε φωνεῖ, ἀποσπ. ἀδέσπ. 458, 10 τυφλὸς οὔτι γνώσεται, οὕτω λέγοντες. Ἡ συνήθης θέσις ἀπαντᾷ Εὐμ. 513 τοῦτ' ἔπος θροούμενος . . ἰὼ δίκα.— Ὁ Ἑρμῆς θέλει νὰ εἴπῃ: ὑπὸ θρήνων οὐ κάμπτεται ὁ Ζεύς. Ἀλλ' ὁ Προμηθεὺς ἐκλαμβάνει ἄλλως τὰς λέξεις λέγων κατὰ τὸν Σχολ. «κἀκεῖνος οὖν τῷ χρόνῳ μαθήσεται τὸ στενάζειν».

1013. Πρβ. Σοφ. ἀπόσπ. 603 γῆρας διδάσκει πάντα καὶ χρόνου τριβή, Εὐρ. ἀπόσπ. 291, 3 ὁ γὰρ χρόνος δίδαγμα ποικιλώτατον. — *ὁ γηράσκων*: Σχολ. ν. «ὁ παλαιός, ὁ μακρός».

1014. *καὶ μὴν . . οὔπω*] εἰ διδάσκει πάντα, ἀλλ' ὅμως σὲ οὔπω ἐδίδαξεν τὸ σωφρονεῖν. Εἰς τὴν μομφὴν ταύτην ἄγεται ὁ Ἑρμῆς ἐκ τῶν προηγησαμένων λόγων τοῦ Προμηθέως.—*καὶ μὴν*: ἔπιθι σημ. εἰς 262.

1015. Σχολ. «ὁ νοῦς· καλῶς λέγεις με μὴ φρονεῖν· εἰ γὰρ ἐγὼ ἐφρόνουν, ὑπηρέτῃ σοι ὄντι οὐκ ἂν διελέχθην»

ΕΡΜΗΣ.

ἐρεῖν ἔοικας οὐδὲν ὧν χρῄζει πατήρ.

ΠΡΟΜΗΘΕΥΣ

καὶ μὴν ὀφείλων γ' ἂν τίνοιμ' αὐτῷ χάριν.

ΕΡΜΗΣ.

ἐκερτόμησας δῆθεν ὡς παῖδ' ὄντα με.

ΠΡΟΜΗΘΕΥΣ.

οὐ γὰρ σὺ παῖς τε κἄτι τοῦδ' ἀνούστερος,
εἰ προσδοκᾷς ἐμοῦ τι πεύσεσθαι πάρα;
οὐκ ἔστιν αἴκισμ' οὐδὲ μηχάνημ' ὅτῳ
προτρέψεταί με Ζεὺς γεγωνῆσαι τάδε,
πρὶν ἂν χαλασθῇ δεσμὰ λυμαντήρια.
πρὸς ταῦτα ῥιπτέσθω μὲν αἰθαλοῦσσα φλόξ,

1016 κέ. *πατὴρ*] ὡς 979. Πρβ. πατρὶ Ζηνὶ 1001. Ἡ λέξις αὕτη ἐμφαίνει τὴν σχέσιν τοῦ Ἑρμοῦ πρὸς τὸν Δία διάφορον τῆς ὑπὸ τοῦ Προμηθέως χαρακτηριζομένης διὰ τῶν λέξεων διάκονος 974, ὑπηρέτης 986, 1015.— Ἐν τῷ εἰρωνικῷ *ὀφείλων* (Σχολ. «τοῦτο ἐν εἰρωνείᾳ») κεῖται ἡ κυρία ἔννοια: ὄντως ὀφείλω αὐτῷ χάριν, ἣν θὰ ἀπέτινον ποιούμενος τὴν ζητουμένην ἀνακοίνωσιν, ἤτοι ὑπὸ τοῦ Διός διάκειμαι ἐν οὕτω ζηλωτῇ καταστάσει, ὥστε θὰ ἔχαιρον ἐὰν ἠδυνάμην νὰ ἀποτίσω αὐτῷ τὴν χάριν. Ἐὰν οἱ δύο οὗτοι στίχοι μὴ ἔκειντο ἐντοῦθα, ἐν τῷ ἑπομένῳ στίχῳ τὸ *ἐκερτόμησας* θὰ προσεκολλᾶτο κάλλιον εἰς τὸ 'σὲ... ὄνθ' ὑπηρέτην' 1015. Διὰ δὲ τοῦτο μετατίθησιν ὁ Kaibel τοὺς δύο εἰρημένους στίχους μετὰ στίχ. 1028. Ἀλλὰ μετὰ στίχ. 1021 - 1028, ἔνθα ὁ Προμηθεὺς ἀρνεῖται ἐρρωμενέστατα πᾶσαν ἀνακοίνωσιν, φαίνεται ἧττον κατάλληλος ἡ ῥῆσις *ἐρεῖν ἔοικας*. Ἠδύνατό τις νὰ παρεμβάλῃ τοὺς δύο στίχους μετὰ στίχ. 1010, ἐπειδὴ δὲ διὰ τοῦ ὀφείλων ὑποδηλοῦται ἡ ἀθλία τοῦ Προμηθέως κατάστασις, θὰ συνήπτετο οὕτω καλῶς καὶ ὁ ἑπόμενος στίχ. 1011 εἴης.. πράσσοις καλῶς. Ἀλλ' ὅμως ὁ στίχ. 1011 συνάπτεται καλῶς πρὸς τὸν στίχ. 1009 καὶ ἴσως προσετέθησαν ὀψιαίτερον οἱ περὶ ὧν ὁ λόγος δύο στίχοι.

1018. *δῆθεν*] Ἰδὲ σημ. εἰς 218.— *ὡς παῖδ' ὄντα*: πρβ. Ἀγ. 289 παιδὸς νέας ὡς κάρτ' ἐμωμήσω φρένας, Ὁμ. Ἰλ. 20, 200 Πηλείδη, μὴ δή με ἔπεσσί γε νηπύτιον ὣς ἔλπεο δειδίξεσθαι.

1019. *τοῦδε*] Ἐπειδὴ *παῖς* σημαίνει ἐνταῦθα οὐχὶ πρόσωπον, ἀλλ' ἰδιότητα, ἠδύνατό τις νὰ ἀναμείνῃ: καὶ τοιοῦδ' ἀνούστερος. Ἀλλὰ τὸ *τοῦδε* κεῖται μόνον ἀντὶ τοῦ παιδός, καθὰ καὶ Σοφ. Ἀντ. 910 καὶ παῖς ἀπ' ἄλλου φωτός, εἰ τοῦδ' ἤμπλακον.

1021 κέ. *αἴκισμα*] αἰκισμὸς (181) καὶ τιμωρία. — *προτρέψεται*: ὡς Σοφ. Ο. Τ. 358 σὺ γάρ μ' ἄκοντα προυτρέψω λέγειν. — *γεγωνῆσαι*: φωνῆσαι. Πρβ. σημ. εἰς 209.

1024. *πρὸς ταῦτα*] Ἔπιθι σημ. εἰς 947. — *αἰθαλοῦσσα*: πρβ. Ἡσ. Θεογ. 707 αἰθαλόεντα κεραυνόν, Εὐρ. Φοιν. 183 κεραυνῶν τε φῶς αἰθαλόεν, Ὁμ. Ἰλ. 2, 415 μέλαθρον αἰθαλόεν, 18, 23

λευκοπτέρῳ δὲ νιφάδι καὶ βροντήμασιν
χθονίοις κυκάτω πάντα καὶ ταρασσέτω·
γνάψει γὰρ οὐδὲν τῶνδέ μ᾽ ὥστε καὶ φράσαι
πρὸς οὗ χρεών νιν ἐκπεσεῖν τυραννίδος.

ΕΡΜΗΣ

ὅρα νυν εἴ σοι ταῦτ᾽ ἀρωγὰ φαίνεται.

ΠΡΟΜΗΘΕΥΣ.

ὦπται πάλαι δὴ καὶ βεβούλευται τάδε.

ΕΡΜΗΣ.

τόλμησον, ὦ μάταιε, τόλμησόν ποτε

κόνιν αἰθαλόεσσαν. Πρὸς τὴν ἔννοιαν πρβ. Ὁμ. Ἰλ. 15, 115 μή νῦν μοι νεμεσήσετ᾽, Ὀλύμπια δώματ᾽ ἔχοντες, τίσασθαι φόνον υἷος ἰόντ᾽ ἐπὶ νῆας Ἀχαιῶν, εἴπερ μοι καὶ μοῖρα Διὸς πληγέντι κεραυνῷ κεῖσθαι ὁμοῦ νεκύεσσι μεθ᾽ αἵματι καὶ κονίῃσιν. Ἐν ὁμοίῳ τρόπῳ ἀποκρούει τὴν ἐκπλήρωσιν ξένης ἐπιθυμίας ὁ Προμηθεὺς κατωτέρω 1075, ὁ Φιλοκτήτης Σοφ. Φιλ. 1197 οὐδέποτ᾽ οὐδέποτ᾽ . . . οὐδ᾽ εἰ πυρφόρος ἀστεροπητὴς βροντᾶς αὐγαῖς μ᾽ εἶσι φλογίζων, ὁ Ἐτεοκλῆς Εὐρ. Φοιν. 521 πρὸς ταῦτ᾽ ἴτω μὲν πῦρ, ἴτω δὲ φάσγανα, ζεύγνυσθε δ᾽ ἵππους, πεδία πίμπλαθ᾽ ἁρμάτων, ὡς οὐ παρήσω τῷδ᾽ ἐμὴν τυραννίδα, ὁ Ἡρακλῆς Εὐρ. ἀποσπ. 687 πίμπρη, κάταιθε σάρκας, ἐμπλήσθητί μου πίνων κελαινὸν αἷμα· πρόσθε γὰρ κάτω γῆς εἶσιν ἄστρα, γῆ δ᾽ ἄνεισ᾽ ἐς αἰθέρα, πρὶν ἐξ ἐμοῦ σοι θῶπ᾽ ἀπαντῆσαι λόγον.

1025 κέ. *λευκοπτέρῳ*] Σχολ. «λευκῇ καὶ ταχείᾳ», οὐχὶ ὀρθῶς, διότι σημαίνονται αἱ δίκην πτερῶν καταπίπτουσαι λευκαὶ νιφάδες τῆς χιόνος. Πρβ. Ἡρόδ. 4, 31 οἶκε γὰρ ἡ χιὼν (ἁδρὴ πίπτουσα) πτεροῖσι . . . τὰ οὖν πτερὰ εἰκάζοντας τὴν χιόνα . . . λέγειν καὶ 4, 7 ὑπὸ πτερῶν κεχυμένων· πτερῶν γὰρ καὶ τὴν γῆν καὶ τὸν ἠέρα εἶναι πλέον. — *βροντήμασι* (1115) *χθονίοις*: περὶ τῶν ὑποχθονίων βροντῶν, τῶν σεισμῶν, ὡς ἀποσπ. 57, 10 τυπάνων ἠχὼ δ᾽ ὥσθ᾽ ὑπογαίου βροντῆς φέρεται βαρυταρβής, Σοφ. Ο. ἐ. Κ. 1606 κτύπησε μὲν Ζεὺς χθόνιος. Εὐρ. Ἱππ. 1201 ἔνθεν τις ἠχώ, χθόνιος ὡς βροντὴ Διός, βαρὺν βρόμον μεθῆκε.— *κυκάτω* (ὑποκείμενον ὁ Ζεύς, ὡς κατωτέρω 1084 μετὰ τὰ ὑποκείμενα πνεῦμα καὶ κῦμα)... *ταρασσέτω*: παρῳδηται ὑπὸ τοῦ Ἀριστοφάνους Εἰρ. 320 ὡς κυκάτω καὶ πατείτω πάντα καὶ ταραττέτω.

1027 *γνάψει*] ἐπικλάσει. Πρβ. Πέρσ. 579. — *ὥστε καί*: οὕτως ὥστε καί. Ὁ *καὶ* ἐκφράζει τὸ εἰς τὴν ἰδιότητα πράξεώς τινος συνᾷδον ἀποτέλεσμα. Πρβ. Πλάτ. Φαίδ. σελ. 66 B ἀνάγκη ἐκ πάντων τούτων παρίστασθαι δόξαν τοιάνδε τινὰ τοῖς γνησίως φιλοσόφοις ὥστε καὶ πρὸς ἀλλήλους τοιαῦτ᾽ ἄττα λέγειν, Σοφ. Αἴ. 1325 τί γάρ σ᾽ ἔδρασεν ὥστε καὶ βλάβην ἔχειν; Εὐρ. Ἑλ. 841 πῶς οὖν θανούμεθ᾽ ὥστε καὶ δόξαν λαβεῖν. Πρὸς τὴν ἔννοιαν πρβ. Hor. carm. III 3, 1 iustum et tenacem propositi virum κτλ. — *πρὸς οὗ*: ὑπὸ ποίου. — *χρεὼν* (ἐστι): πέπρωται, ἀπόκειται. Πρβ. σημ. εἰς στ. 100. — *νιν*: αὐτόν.

1031 κέ. *τόλμησον τόλμησον*] Περὶ τῆς ἐπαναδιπλώσεως ἔπιθι σημ. εἰς 282 — *ποτέ*: τέλος. Πρβ. 1067. — *τόλμησον ὀρθῶς φρονεῖν*: πρβ. Εὐρ. Μηδ. 590 οὐδὲ νῦν τολμᾷς μεθεῖναι καρδίας χόλον, Ἱκέτ. 882 παῖς ὢν

πρὸς τὰς παρούσας πημονὰς ὀρθῶς φρονεῖν.

ΠΡΟΜΗΘΕΥΣ.

ὀχλεῖς μάτην με κῦμ᾽ ὅπως παρηγορῶν.
εἰσελθέτω σε μήποθ᾽ ὡς ἐγὼ Διὸς
γνώμην φοβηθεὶς θηλύνους γενήσομαι
καὶ λιπαρήσω τὸν μέγα στυγούμενον
γυναικομίμοις ὑπτιάσμασιν χερῶν
λῦσαί με δεσμῶν τῶνδε· τοῦ παντὸς δέω.

ΕΡΜΗΣ.

λέγων ἔοικα πολλὰ κἄλλ᾽ ἐρεῖν μάτην·

ἐτόλμησ᾽ εὐθὺς οὐ πρὸς ἡδονὰς Μουσῶν τραπέσθαι πρός τε μαλθακὸν βίον, Verg. Aen. VIII 364 aude, hospes, contemnere opes καὶ Hor. epist. I 2, 40 sapere aude. — *πρὸς τὰς παρούσας πημονὰς*: ὡς Σοφ. Φιλ. 884 ὡς οὐκέτ᾽ ὄντος γάρ τὰ συμβόλαιά σου πρὸς τὰς παρούσας ξυμφορὰς ἐφαίνετο, Εὐρ. Ἱππ. 482 λέγει μὲν ἥδε χρησιμώτερα πρὸς τὴν παροῦσαν συμφοράν.

1033. *ὀχλεῖς*] ἀπολύτως, ὡς Σοφ. Ο. Τ. 446 παρὼν σύ γ᾽ ἐμποδὼν ὀχλεῖς. — *κῦμ᾽ ὅπως*: Σχολ. «λαλῶν ὡς πρὸς κῦμα ἀναίσθητον». Ἡ παραβολὴ εἶναι συχνή. Πρβ. Εὐρ. Ἀνδρομ. 537 τί με προσπίτνεις ἁλίαν πέτραν ἢ κῦμα λιταῖς ὡς ἱκετεύων, Μηδ. 28 ὡς δὲ πέτρος ἢ θαλάσσιος κλύδων ἀκούει νουθετουμένη φίλων, Ἱππ. 304 πρὸς τάδ᾽ αὐθαδεστέρα γίγνου θαλάσσης, Λυκόφρ. 1452 εἰς κῦμα κωφὸν βάζω, Φιλόδημ. Ἀνθολ. Παλατ. 5, 107 τοῦτ᾽ ἐβόων αἰεὶ καὶ προὔλεγον, ἀλλ᾽ ἴσα πόντῳ Ἰονίῳ μύθων ἔκλυες ἡμετέρων καὶ Ovid. Metam. XIII 804 surdior aequoribus. — *παρηγορῶν*: Σχολ. «παρ᾽ ἃ φρονῶ πείθειν ἐπιχειρῶν». Πρβ. σημ. εἰς 673 κἑ.

1034. *εἰσελθέτω*] μήποτε ἐπελθέτω σοι κατὰ νοῦν, μήποτε παραστήτω σοι. — *Διὸς γνώμην φοβηθεὶς*: ὡς Σοφ. Ἀντ. 458 ἀνδρὸς οὐδενὸς φρόνημα δείσασα.

1036. *μέγα στυγούμενον*] ὡς μέγα στύγος στυγούμενον. Πρβ. σημ. εἰς 674.

1037. *γυναικομίμοις*] Πρβ. Σοφ. ἀπόσπ. 705 γυναικομίμοις ἐμπρέπεις ἐσθήμασιν, Εὐρ. Βάκχ. 980 ἐν γυναικομίμῳ στολᾷ, ἀπόσπ. 185, 3 γυναικομίμῳ διαπρέπεις μορφώματι. — *ὑπτιάσμασιν χερῶν*: πρβ. Σουΐδ. λ. ὕπτιος «προθυμίᾳ τῇ πάσῃ ἀναπετάσαντες τὰς πύλας ἐδέξαντο ὑπτίαις χερσὶ τοὺς πολεμίους», Verg. Aen. III 176 tendoque supinas ad caelum cum voce manus, Hor. carm. III 23, 1 caelo supinas si tuleris manus. Οἱ ἀρχαῖοι ἱκέτευον ἀνατεταμέναις καὶ ὑπτίαις χερσίν. Τὸ σχῆμα τοῦτο τῶν χειρῶν ἐξεικονίσθη κάλλιστα ἐν τῷ εὐχομένῳ παιδί, ὅστις ἀπόκειται ἐν τῷ Βερολινείῳ Μουσείῳ. Πρβ. Clarac mus. de sculpt. πίν. 777 ἀρ. 1942.

1038. *τοῦ παντὸς δέω*] Ἴδε σημ. εἰς 993.

1039. Ὁ νοῦς: ἐὰν διατελέσω λέγων, νομίζω ὅτι οὐδὲν ἕτερον θὰ κατορθώσω ἢ νὰ εἴπω πολλὰ καὶ ἐπίσης μάτην, ὡς τὰ τέως ῥηθέντα. Πρβ. Εὐμ. 144 ἢ πολλὰ δὴ παθοῦσα καὶ μάτην ἐγώ. Τῶν διαπραγματεύσεων ἀποδειχθεισῶν ἀγόνων, ὁ Ἑρμῆς παρασκευάζεται νὰ ἀναγγείλῃ τὸ τελεσίγραφον.

τέγγῃ γὰρ οὐδὲν οὐδὲ μαλθάσσῃ κέαρ
λιταῖς· δακὼν δὲ στόμιον ὡς νεοζυγὴς
πῶλος βιάζῃ καὶ πρὸς ἡνίας μάχῃ.
ἀτὰρ σφοδρύνῃ γ' ἀσθενεῖ σοφίσματι.
αὐθαδία γὰρ τῷ φρονοῦντι μὴ καλῶς
αὐτὴ καθ' αὐτὴν οὐδενὸς μεῖζον σθένει.
σκέψαι δ', ἐὰν μὴ τοῖς ἐμοῖς πεισθῇς λόγοις,

1040. *τέγγῃ*] Πρб. Σουΐδ. «τέγγεσθαι· εἴκειν, ἐνδιδόναι», ἀπόσπ. 348 ἄτεγκτος παρηγορήμασιν, Ἀνέκδ. Βεκκ. σελ. 458, 18 «ὁ μὴ βρεχόμενος μηδὲ προσιέμενος παραμυθίαν, ἀλλὰ σκληρὸς ὢν ὡσεὶ πέτρα ἢ ἄλλο τι τῶν σκληρῶν, ὡς μηδὲ ὑπὸ ὕδατος διαβρέχεσθαι», Σοφ. Ο. Τ. 336 ἄτεγκτος (Σχολ. «ἀντὶ τοῦ ἀσυμπαθὴς καὶ ἀδάκρυτος· τέγγειν γὰρ τὸ βρέχειν»), Εὐρ. Ἱππ. 303 λόγοις ἐτέγγετο (Σχολ. «ἐμαλάσσετο»), Ἡρακλ. 833 ἄτεγκτον συλλαβοῦσα καρδίαν.

1041 κέ. *δακὼν . . βιάζῃ* (βίᾳ φέρεις)] Πρб. Εὐρ. Ἱππ. 1223 αἳ δ' ἐνδακοῦσαι στόμια πυριγενῆ γναθμοῖς βίᾳ φέρουσιν οὔτι ναυκλήρου χερὸς μεταστρέφουσαι, Μηδ. 242 μὴ βίᾳ φέρων ζυγόν, ἀπόσπ. 821 εἰ μὲν τόδ' ἦμαρ πρῶτον ἦν κακουμένῳ καὶ μὴ μακρὰν δὴ διὰ πόνων ἐναυστόλουν, εἰκὸς σφαδάζειν ἦν ἂν ὡς νεόζυγα πῶλον χαλινὸν ἀρτίως δεδεγμένον· νῦν δ' ἀμβλύς εἰμι καὶ κατηρτυκὼς κακῶν, Πλάτ. Φαίδρ. σελ. 254 Ε ἐγκύψας καὶ ἐκτείνας τὴν κέρκον, ἐνδακὼν τὸν χαλινόν, μετ' ἀναιδείας ἕλκει καὶ σημ. εἰς Πέρσ. 198.

1043. Ὁ νοῦς: παρὰ πᾶσαν τὴν σφοδρότητα τοῦ τρόπου σου τὸ σόφισμά σου ἐξελέγχεται ἀσθενὲς καὶ ἐπισφαλές. Τὸ *σφοδρύνεσθαι*: (Σχολ. «σφοδρύνῃ· θρασύνῃ») ἐκδηλοῦν τὴν ἐξωτερικὴν ἔντασιν τοῦ ἀτιθάσου χαρακτῆρος ἀντιτίθεται πρὸς τὸ *ἀσθενές*, τὸ σημαῖνον τὴν ἐσωτερικὴν ἀδυναμίαν. Ἀσθενὲς δὲ σόφισμα εἶναι ἡ ματαία καὶ ἀνωφελὴς τοῦ Προμηθέως ἄρνησις νὰ εἴπῃ εἰς τὸν Δία τὸν ἐπικείμενον αὐτῷ κίνδυνον (Σχολ. «σόφισμα τὴν προαγόρευσιν τῆς ἐκπτώσεως»). Ὁ Προμηθεὺς ἐλπίζει ὅτι ὁ Ζεὺς θὰ ἀναγκασθῇ ἐκ τῆς ἀρνήσεως ταύτης νὰ συνδιαλλαγῇ πρὸς τὸν δεσμώτην, ἀλλ' ὁ Ἑρμῆς λέγει αὐτῷ, ὅτι ἡ ἀντίστασις θὰ τιμωρηθῇ δριμύτερον.

1044 κέ. *τῷ μὴ καλῶς φρονοῦντι*] τῷ ἄφρονι καὶ ἀνοήτῳ. — *αὐτὴ καθ' αὐτήν*: ἤτοι χωρὶς τοῦ καλῶς φρονεῖν. Πρб. Σοφ. Ο. Τ. 549 εἴ τοι νομίζεις κτῆμα τὴν αὐθαδίαν εἶναί τι τοῦ νοῦ χωρίς, οὐκ ὀρθῶς φρονεῖς. — *οὐδενὸς μεῖζον σθένει*: οὐδενὸς ὑπερέχει κατὰ τὰς δυνάμεις ἤτοι εἶναι ἀσθενεστέρα παντὸς πράγματος ἐπεξηγεῖται καὶ ἐπιτείνει τὸ προηγησάμενον (1043) ἀσθενεῖ. Τουναντίον δὲ ἡ ἐπίτασις τοῦ μεγέθους ἐκφράζεται διὰ τῆς ῥήσεως: οὐδενὸς ἔλαττον. Πρб. Θέογν. 411 οὐδενὸς ἀνθρώπων κακίων δοκεῖ εἶναι ἑταῖρος, ᾧ γνώμη θ' ἕπεται, Κύρνε, καὶ ᾧ δύναμις, Εὐρ. Ἀνδρ. 726 τἄλλ' ὄντες ἴστε μηδενὸς βελτίονες, Θουκ. 7, 71 οὐδεμιᾶς δὴ τῶν ξυμπασῶν ἐλάσσων ἔκπληξις, 85 πλεῖστος γὰρ δὴ φόνος οὗτος καὶ οὐδενὸς ἐλάσσων τῶν ἐν τῷ Σικελικῷ πολέμῳ τούτῳ, Δημοσθ. 1 § 27 ἡ τῶν πραγμάτων αἰσχύνη, οὐδεμιᾶς ἐλάττων ζημίας τοῖς γε σώφροσι, Αἰσχίν. 1 § 151 ὁ οὐδενὸς ἧττον σοφὸς τῶν ποιητῶν Εὐριπίδης, Πλάτων Πρωταγ. 335 Α εἰ τοῦτο ἐποίουν, οὐδενὸς ἂν βελτίων ἐφαινόμην καὶ Κρυγ. Α' § 47, 27, 3.

1046 κέ. *σκέψαι δέ*] Πρб. Σοφ. Ο.

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

οἷός σε χειμὼν καὶ κακῶν τρικυμία
ἔπεισ᾽ ἄφυκτος· πρῶτα μὲν γὰρ ὀκρίδα
φάραγγα βροντῇ καὶ κεραυνίᾳ φλογὶ
πατὴρ σπαράξει τήνδε, καὶ κρύψει δέμας
τὸ σόν, πετραία δ᾽ ἀγκάλη σε βαστάσει.
μακρὸν δὲ μῆκος ἐκτελευτήσας χρόνου
ἄψορρον ἥξεις εἰς φάος· Διός δέ σοι
πτηνὸς κύων, δαφοινὸς αἰετός, λάβρως

Τ. 584 σκέψαι δὲ τοῦτο πρῶτον, Εὐρ. Ἱκ. 476 σκέψαι δὲ καὶ μὴ τοῖς ἐμοῖς θυμούμενος λόγοισιν . . σφριγῶντ᾽ ἀμείψῃ μῦθον, Σοφ. Τραχ. 1077 σκέψαι θ᾽ ὁποίας ταῦτα συμφορᾶς ὕπο πέπονθα.— *χειμὼν* (670) *καὶ τρικυμία κακῶν*: Πρβ. Σχολ. εἰς Πινδ. Ἰσθμ. 1, 36 (52) «καὶ Ἀλκαῖος (ἀνθ᾽ οὗ ὁ Blomfield εἰκάζει Αἰσχύλος) τὴν δυστυχίαν χειμῶνα καὶ τρικυμίαν λέγει. Ἔπιθι σημείωσ. εἰς Ἑπτὰ ἐπὶ Θήβας 743.

1048 κέ. *ἔπεισ᾽*] Ἡ ἔκθλιψις τοῦ ι ἐν τῇ ῥηματικῇ καταλήξει σι εἶναι σπανία. Πρβ. Πέρσ. 473. Πρὸς τὴν ἔννοιαν πρβ. Πέρσ. 602 κακῶν μὲν ὡς ὅταν τινὰ κλύδων ἐπέλθῃ. — *πρῶτα μέν*: ἡ ἀνταπόδοσις *μακρὸν* (1052) *δέ*. Πρβ. 463. — *ὀκρίδα* (πρβ. ὀκριοέσσῃ 298): Σχολ. ν. «τραχεῖαν». Κατὰ τὰ ἀναγινωσκόμενα παρὰ τῷ Ἐρωτιανῷ σελ. 278 «ὄκρις (ἀνθ᾽ οὗ ὁ Στέφανος τονίζει ὀκρὶς) τραχύτης, ἀλλ᾽ οὐχ ὥς φησι Βακχεῖος, γωνία» καὶ Γαληνῷ Γλῶσσ. σελ. 532 «ὄκρις· ἐξοχὴ προμήκης» εἶναι τὸ ὀκρὶς οὐσιαστικόν. Ἐὰν τὸ κείμενον εἶναι ὀρθόν, ὁ Αἰσχύλος μετεχειρίσατο τὸ *ὀκρίς* ἐπιθετικῶς ἀντὶ τοῦ *ὀκριόεσσα*. Λίαν προσφυῶς ὅμως εἴκασεν ὁ Nauck *ὀκρίδα πέμφιγι βροντῆς*. Περὶ τοῦ *πέμφιξ* ἰδὲ σημ. εἰς ἀπόσπ. 197.

1051. *πετραία ἀγκάλη*] Σχολ. «τὸ ἀπόρρηγμα καὶ κοίλωμα τῆς πέτρας». Πρβ. Χο. 585 πόντιαι ἀγκάλαι, Εὐρ. Ἑλ. 1062 πελαγίας ἐς ἀγκάλας, Ἀριστοφ. Βατρ. 704 τὴν πόλιν ἔχοντες κυμάτων ἐν ἀγκάλαις κατὰ τὴν Ἀρχιλόχειον ῥῆσιν: ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις. *Πετραία δ᾽ ἀγκάλη σε βαστάσει*: ἐκ πέτρας κρεμάμενον καὶ οἱονεὶ ἐν πετραίᾳ ἀγκάλῃ βασταζόμενον. Ὁ Προμηθεὺς κρεμάμενος καὶ περιβαλλόμενος ὑπὸ τοῦ κρημνοῦ μέλλει νὰ βληθῇ σὺν τοῖς δεσμοῖς αὐτοῦ εἰς τὸν Τάρταρον, οὕτω δὲ ἐν ἀρχῇ τοῦ ἑπομένου δράματος, Προμηθέως λυομένου, ἀποφεύγει ὁ ποιητὴς τὴν ἐπανάληψιν τῆς ἀτερποῦς σκηνῆς τῆς δέσεως, ὁ δὲ Τιτὰν ἀναφαίνεται πάλιν ἐν τῷ ἄνω κόσμῳ μετὰ τοῦ κρημνοῦ, ἐν ᾧ ἐδέδετο.

1052. *μακρὸν μῆκος χρόνου*] ὡς Εὐρ. Ὀρ. 72 μακρὸν δὲ μῆκος (διάστημα) χρόνου.

1053. *ἄψορρον*] ὀπίσω, πάλιν. Πρβ. Ὁμ. Ὀδ. 10, 558 ἄψορρον καταβῆναι, Σοφ. Τραχ. 902 ἄψορρον ἀντῴη πατρί, Ἠλ. 53 ἄψορρον ἥξομεν πάλιν, 1430 ὦ παῖδες, οὐκ ἄψορρον. Ἐν ἄλλῃ ἐννοίᾳ κεῖται τὸ *ἄψορρος* Ὁμ. Ἰλ. 3, 313 τὼ μὲν ἄρ᾽ ἄψορροι προτὶ Ἴλιον ἀπονέοντο, Σοφ. Ἀντ. 386 ὅδ᾽ ἐκ δόμων ἄψορρος εἰς δέον περᾷ καὶ ἀλλαχοῦ.

1054. *κύων*] Πρβ. σημ. εἰς 829 κύνας.— *δαφοινός*: Σχόλ. Β εἰς Ὁμ. Ἰλ. 18, 538 «δηλοῖ δὲ τὸ δαφοινὸν τὸ σφόδρα φονικόν· δαφοινοὶ θῶες καὶ δράκων δαφοινός». Ἕτεροι ἐξηγοῦνται τὴν λέξιν διὰ τοῦ πυρρός. — *λάβρως*: ἀπλήστως καὶ ὁρμητικῶς.

διαρταμήσει σώματος μέγα ῥάκος,
ἄκλητος ἕρπων δαιταλεὺς πανήμερος,
κελαινόβρωτον δ' ἧπαρ ἐκθοινάσεται.
τοιοῦδε μόχθου τέρμα μή τι προσδόκα,
πρὶν ἂν θεῶν τις διάδοχος τῶν σῶν πόνων
φανῇ, θελήσῃ τ' εἰς ἀναύγητον μολεῖν

1055. *διαρταμήσει*] διασπαράξει καὶ διακόψει. Πρβ. Εὐρ. Ἀλκ. 494 ἄνδρας ἀρταμοῦσι λαιψηραῖς γνάθοις, Ἠλ. 816 ταῦρον ἀρταμεῖ καλῶς καὶ Σχόλ. εἰς Ὀππιαν. Ἁλ. 622 «διαρταμέοντες· διακόπτοντες. ἄρταμος πᾶς σφαγεὺς καὶ φονεύς· κυρίως δὲ ὁ μάγειρος ὁ κατὰ ἄρθρα τέμνων» καὶ Ἀνέκδ. Ἑλλ. Bekk. σελ. 447, 5 «ἄρταμος· κρεουργός, μάγειρος. τάττει αὐτὸ Σοφοκλῆς ἐπὶ τοῦ φονέως» καὶ Προμ. λυ. ἀπόσπ. 193, 10: iam tertio me quoque funesto die tristi advolatu aduncis lacerans unduibus Jovis satelles pastu dilaniat fero. — *σώματος μέγα ῥάκος*: προληπτικῶς ἐκφράζει τὸ ἀποτέλεσμα τοῦ *διαρταμήσει*: διαρταμήσει σῶμα ὥστε μέγα ῥάκος γενέσθαι ἤτοι διασπαράξει, ὥστε μεγάλαι λακίδες κρεμασθήσονται. — *ῥάκος*: Σχολ. «τὸ δέρμα». Εἰς τὸ *μέγα ῥάκος* φαίνεται ὅτι ἁρμόζει τὸ *δέρματος* μᾶλλον τοῦ *σώματος*. — *μέγα*: τὸ ρ κείμενον ἐν τῇ ἄρσει διεφύλαξεν παρὰ τοῖς μετὰ τὸν Ὅμηρον ποιηταῖς τὴν διπλοῦ συμφώνου σημασίαν (ὥσπερ τὸ διπλοῦν ρ ἐν μέσῳ τῆς λέξεως), ἣν ἐν γένει παρ' Ὁμήρῳ ἔχουσι τὰ ὑγρά. Ἡ δὲ σημασία αὕτη κατάγεται ἐκ τούτου, ὅτι πρὸ τοῦ ὑγροῦ ἐξηφανίσθη σύμφωνον, καθὰ *ῥάκος* αἰολικῶς εἶναι βράκος, ὁ δὲ διπλασιασμὸς τοῦ ρ ἐν μέσῳ τῆς λέξεως οὐδὲν ἕτερον εἶναι ἢ ἀφομοίωσις. Σημειωτέον δὲ ὅτι τὸ προηγούμενον τοῦ ρ φωνῆεν ἐν τῇ θέσει ἀπαντᾷ καὶ βραχύ, ὡς 739, 1024.

1056. *πανήμερος*] ἑρμηνευτέον οὐχὶ κατὰ πᾶσαν ἡμέραν, καθ' ἑκάστην ἡμέραν, ἀλλὰ δι' ὅλης τῆς ἡμέρας παρατείνων τὴν δαῖτα ἤτοι πρόπαν ἦμαρ κατὰ Ἡσιόδ. Θεογ. 523 αὐτὰρ ὅ γ' ἧπαρ ἤσθιεν ἀθάνατον, τὸ δ' ἀέξετο ἶσον ἁπάντῃ νυκτός, ὅσον πρόπαν ἦμαρ ἔδοι τανυσίπτερος ὄρνις, καθὰ *πανῆμαρ* καὶ *πανημέριος* σημαίνουσι παρ' Ὁμήρῳ ὅλην τὴν ἡμέραν (ἀπὸ πρωΐας μέχρι ἑσπέρας), οἷον Ὀδ. 11,11 τῆς δὲ πανημερίης τέταθ' ἱστία ποντοπορεύσης. Κατὰ ἀπόσπ. 193, 10, ὅπερ παρετέθη ἐν τῇ ἡγουμένῃ σημειώσει, ὁ ἀετὸς ἐπιφαίνεται οὐχὶ καθ' ἑκάστην ἡμέραν, ἀλλὰ διὰ τριῶν ἡμερῶν.

1057. *κελαινόβρωτον*] κεῖται προληπτικῶς, «τὸ μελαινόμενον ἐκ τῆς βρώσεως» κατὰ τὸν Σχολ. Ἀλλ' ὅμως ἡ εἰκασία τοῦ Ἀ. Πάλλη *κελαινόχρωτον*, εἶναι εὔστοχος. — *ἐκθοινάσεται*: καταβρώσεται.

1058 κἑ. Ἐν τῇ αὐτῇ ἐννοίᾳ, ἐν ᾗ ὁ Ἥφαιστος λέγει 27 ὁ λωφήσων γὰρ οὐ πέφυκέ πω, διαλέγεται ἐνταῦθα ὁ Ἑρμῆς περὶ τῆς ἀκατανοήτου καὶ ἀδυνάτου περιπτώσεως, καθ' ἣν εἶναι πρόθυμος θεὸς νὰ προσενέγκῃ ὑπὲρ τοῦ Προμηθέως τὴν ἑαυτοῦ ἀθανασίαν. Ὅπως δὲ στίχ. 27 ὑπεμφαίνεται ὁ Ἡρακλῆς, οὕτως παραινίσσονται ἐνταῦθα αἱ λέξεις αὗται τὸ συμβαῖνον ἐν τῷ Προμ. λυομένῳ, ἔνθα ὁ Κένταυρος Χείρων, ὅστις καὶ παρὰ Σοφ. Τραχ. 714 χαρακτηρίζεται ὡς θεός, ἀποθνήσκει ὑπὲρ τοῦ Προμηθέως. Ἰδὲ Εἰσαγ. σελ. 37 κἑ. Ὁ Ἑρμῆς ἀγγέλλει τοῦτο ὡς πρᾶγμα, ὅπερ οὐχὶ ῥᾳδίως ἠδύνατό τις νὰ διανοηθῇ οὐδὲ νὰ προσδοκήσῃ. — *διάδοχος . . . πόνων*: ὡς 480.

1060 κἑ. *ἀναύγητον*] ζοφερόν. — *ἀμφὶ Ταρτάρου βάθη*: ἐν μέσῳ που τῶν

Ἅιδην κνεφαῖά τ' ἀμφὶ Ταρτάρου βάθη.
πρὸς ταῦτα βούλευ'· ὡς ὅδ' οὐ πεπλασμένος
ὁ κόμπος, ἀλλὰ καὶ λίαν εἰρημένος·
ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταται στόμα
τὸ Δῖον, ἀλλὰ πᾶν ἔπος τελεῖ. σὺ δὲ
πάπταινε καὶ φρόντιζε, μηδ' αὐθαδίαν
εὐβουλίας ἄμεινον ἡγήσῃ ποτέ.

ΧΟΡΟΣ.

ἡμῖν μὲν Ἑρμῆς οὐκ ἄκαιρα φαίνεται
λέγειν· ἄνωγε γάρ σε τὴν αὐθαδίαν
μεθέντ' ἐρευνᾶν τὴν σοφὴν εὐβουλίαν.

σκοτεινῶν (κνεφαίων) τοῦ Ταρτάρου βαθῶν. Ἔπιθι σημ. εἰς 856 καὶ Ὁμ. Ὕμν. 2, 157 Τιτῆνές τε θεοὶ τοὶ ὑπὸ χθονὶ ναιετάοντες Τάρταρον ἀμφὶ μέγαν. Ἐὰν ἀντικείμενόν τι ὑπάρχῃ ἔν τινι τόπου μέρει, ὁ μὴ γινώσκων τὸ ὡρισμένον τοῦτο μέρος ὀφείλει νὰ ἀναπολήσῃ κατὰ διάνοιαν ὅλον τὸν τόπον ἐὰν θέλῃ νὰ διανοηθῇ τὸ μέρος τοῦτο. — Προσφυῶς εἰκάζει ὁ Reisig *ἀμφὶ Τάρταρον*, ὥστε τὸ *κνεφαῖα βάθη* θὰ ἤρτητο ἐκ τῆς *εἰς*.

1062 κἑ. *πρὸς ταῦτα*] πρβ. 1024. —*βούλευε*: ἀπολύτως. Πρβ. Σχολ. ν. «πρὸς ταῦτα βουλεύου καὶ σκόπει τὸ προσῆκον, ὅτι ταῦτα ἃ σοι λέγω, οὐκ εἰσὶ πεπλασμένα καὶ ψευδῆ, ἀλλὰ λίαν ἀληθῆ» καὶ 1029 καὶ 1046. —*κόμπος*: Πρβ. Εὐρ. Ἑλ. 393 καὶ τόδ' οὐ κόμπῳ λέγω. —*καὶ λίαν εἰρημένος*: οὐχὶ ἁπλῶς καὶ μάτην μόνον λεγόμενος ἀλλὰ σπουδαίως καὶ ἀληθῶς ἐξαγγελλόμενος ὡς ἀμετάκλητος καὶ ἔμπεδος ἀπόφασις. Ἡ συχνὴ ῥῆσις *καὶ λίαν* εὕρηται ἤδη παρ' Ὁμήρῳ Ὀδ. 1, 46 καὶ λίαν κεῖνός γε ἐοικότι κεῖται ὀλέθρῳ. Πρβ. Εὐρ. Μηδ. 526 ἐπειδὴ καὶ λίαν πυργοῖς χάριν, Ἑκ. 1256 ἐπείπερ οὕτω καὶ λίαν θρασυστομεῖ. Πρὸς τὴν ἐμφαντικὴν σημασίαν τοῦ *εἰρημένος* πρβ. τὴν χρῆσιν τοῦ *πεποιημένος* (Λογγῖν. 8 πεποιημένην λέξιν καὶ τροπικὴν) καὶ factus (Hor. sat. I 10, 58) σημαινόντων τὰ ἐν τεχνικῷ τρόπῳ γενόμενα, οἷς ἀντιτίθεται τὸ ἀποίητον καὶ αὐτοφυές.

1064 κἑ. *ψευδηγορεῖν* (ψευδῆ λέγειν) . . . *τελεῖ*] Πρβ. Ὁμ. Ἰλ. 1,526 οὐ γὰρ ἐμὸν (λέγει ὁ Ζεὺς) παλινάγρετον οὐδ' ἀπατηλὸν ὅ τι κεν κεφαλῇ κατανεύσω. — *πᾶν ἔπος*: Σχολ. ν. «ὃ ἂν εἴπῃ».

1066. *πάπταινε*] Πρβ. Ἡσύχ. «παπταίνειν· περιβλέπειν πάντῃ», Σχολ. εἰς Ὁμ. Ἰλ. 4, 200 «πανταχόσε τοὺς ὀφθαλμοὺς ῥίπτων, ὡς μὴ λάθοι αὐτόν» καὶ σημ. εἰς 349 κἑ. — *φρόντιζε*: Σχολ. ν. «τοῦ λυσιτελοῦντος». Πρβ. βούλευε 1062.

1067. Ἐν τῷ Μεδικείῳ κώδικι διώρθωται τὸ *ἄμεινον* εἰς *ἀμείνον'*. Πρβ. ὅμως Ἰκ. 196 κρεῖσσον δὲ πύργου βωμός, Σοφ. Ο. ἐ. Κ. 592 θυμὸς ἐν κακοῖς οὐ ξύμφορον, Εὐρ. Ἰκ. 508 σφαλερὸν ἡγεμὼν θρασύς, ἔτι δὲ καὶ Εὐρ. ἀπόσπ. 96 σκαιόν τι χρῆμα πλοῦτος ἥ τ' ἀπειρία. —*μηδ' αὐθαδίαν . . . ποτέ*: Πρβ. Εὐρ. Κύκλ. 310 τὸ δ' εὐσεβὲς τῆς δυσσεβείας ἀνθελοῦ.

1068 κἑ. *ἡμῖν μὲν*] Ἐν ταῖς προσωπικαῖς ἀντωνυμίαις καὶ τοῖς ῥήμασιν *οἶμαι* καὶ *δοκῶ* κεῖται πολλάκις ὁ *μὲν* ἄνευ ἀντιστοίχου *δέ*, ὑπονοουμένης τῆς ἀντιθέσεως ἐκ τῆς συνεχείας τοῦ λόγου,

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

πιθοῦ· σοφῷ γὰρ αἰσχρὸν ἐξαμαρτάνειν.

ΠΡΟΜΗΘΕΥΣ.

εἰδότι τοί μοι τάσδ' ἀγγελίας
ὅδ' ἐθώϋξεν, πάσχειν δὲ κακῶς
ἐχθρὸν ὑπ' ἐχθρῶν οὐδὲν ἀεικές.
πρὸς ταῦτ' ἐπ' ἐμοὶ ῥιπτέσθω μὲν
πυρὸς ἀμφήκης βόστρυχος, αἰθὴρ δ'
ἐρεθιζέσθω βροντῇ σφακέλῳ τ'
ἀγρίων ἀνέμων· χθόνα δ' ἐκ πυθμένων
αὐταῖς ῥίζαις πνεῦμα κραδαίνοι,
κῦμα δὲ πόντου τραχεῖ ῥοθίῳ

ὡς ἐνταῦθα: ἡμῖν μὲν φαίνεται οὕτω, σὺ δὲ ἴσως φρονεῖς ἄλλως.—*ἐρευνᾶν*: Σχολ. ν. «ζητεῖν».—*σοφῷ*: Σχολ. ν. «οἷος αὐτός εἶ». — Περὶ τῆς ὑπὸ τοῦ κορυφαίου βεβαιώσεως τῆς προηγησαμένης ἐννοίας τοῦ Ἑρμοῦ ἔπιθι σημ. εἰς 488. Σημειωτέον δὲ ὅτι ἐν τοῖς λόγοις τούτοις τοῦ χοροῦ ὑποδηλοῦται ἡ προσέγγισις τοῦ Προμηθέως λυομένου, ἐν ᾧ ἐπικρατοῦσιν ἕτεραι ἰδέαι.

1072 - 1127. Ἐν πέντε ἀναπαιστικοῖς συστήμασιν, ἐξ ὧν τὰ δύο τοῦ Προμηθέως (14=14) καὶ τοῦ Ἑρμοῦ (9=9) συνᾴδουσιν ἀλλήλοις, ἐν ᾧ τὸ σύστημα τοῦ χοροῦ κατέχει τὸ μέσον, παρίσταται ἡ *ἐπέλευσις τῆς καταστροφῆς*. Σημειωτέον δὲ ὅτι πρῶτος ὁ Hermann ἐν Element. doctr. metr. σελ. 784 διεῖδε τὴν συμμετρίαν τῶν ἀναπαιστικῶν συστημάτων. Ἐν τῷ μέσῳ κεῖται, ὡς εἴρηται, τὸ σύστημα τοῦ χοροῦ 1096 - 1103, καθὰ δεικνύει τὸ ἑπόμενον σχῆμα, ἐν ᾧ οἱ ἀριθμοὶ σημαίνουσι τὸν ἀριθμὸν τῶν διμέτρων:

| Προμ. | Ἑρμ. | Χορ. | Ἑρμ. | Προμ. |
|---|---|---|---|---|
| 14 | 9 | 7 ½ | 9 | 13 ½. |

Κατὰ ταῦτα καθίσταται πιθανόν, ὅτι ἐν τῷ τελευταίῳ συστήματι ἢ ἓν μονόμετρον διὰ παύσεως προσέλαβε τὴν δύναμιν ἑνὸς διμέτρου ἢ ἐξερρύη ἓν μονόμετρον. Ὁ Hermann τὸ πρῶτον παρεδέχετο τὸ χάσμα μετὰ τὸ σεσάλευται 1115, ὕστερον ὅμως παρενέθηκε πρὸ τοῦ 1125 τὸ μονόμετρον: ὦ Θέμι, ὦ Γῆ.

1072 κἑ. *εἰδότι*] ἰδὲ σημ. εἰς 457. — *ἐθώϋξεν*: Ἰδὲ σημ. εἰς 73. — *ὅδε*: μετά τινος περιφρονήσεως.

1074. *οὐδὲν ἀεικὲς*] ἀποκρούει τὴν 1071 διὰ τοῦ *αἰσχρὸν* γενομένην ἐπίπληξιν.

1076. *πυρὸς . . . βόστρυχος*] Σχολ. «ἡ ἑλικοειδὴς τοῦ πυρὸς καταφορά. ἀμφήκης δὲ ὀξύς». Πρβ. Ἡσύχ. «ἄμφηκες δὲ ἐξ ἑκατέρου μέρους ἠκονημένον βέλος· ἢ κεραυνὸς ἢ ξίφος», Ὁμ. Ἰλ. 10, 256 φάσγανον ἄμφηκες, 21, 118 ξίφος ἄμφηκες, Σοφ. Αἴ. 286 ἄμφηκες . . . ἔγχος. Ὅθεν ἡ ἀμφίπυρος βροντὴ (Εὐρ. Ἱππ. 559) παραβάλλεται πρὸς δίκωπον ξίφος. Πρβ. Κλεάνθ. Ὕμν. εἰς Δία στ. 10 ἀμφήκη πυρόεντα ἀεὶ ζώοντα κεραυνόν. Πρὸς τὸ *βόστρυχος* πρβ. ἕλικες στεροπῆς 1117 καὶ Ἀγ. 318 φλογὸς μέγαν πώγωνα καὶ Catull. 61, 77 viden ut faces splendidae quatiunt comas.

1077. *ἐρεθιζέσθω*] Σχολ. ν. «κινείσθω».—*σφακέλῳ*: συστροφῇ, Σχολ. «σπασμῷ, συντόνῳ κινήσει». Πρβ. σημ. εἰς 904 κἑ.

1079. *αὐταῖς ῥίζαις*] Σχολ. «θεμελίοις». Πρβ. σημ. εἰς 237.

1080. *τραχεῖ ῥοθίῳ*] σφοδρᾷ ὁρμῇ

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

συγχώσειεν
τῶν οὐρανίων ἄστρων διόδους,
εἴς τε κελαινὸν Τάρταρον ἄρδην
ῥίψειε δέμας τοὐμὸν ἀνάγκης
στερραῖς δίναις·
πάντως ἐμέ γ᾽ οὐ θανατώσει.

ΕΡΜΗΣ.

τοιάδε μέντοι τῶν φρενοπλήκτων
βουλεύματ᾽ ἔπη τ᾽ ἔστιν ἀκοῦσαι.
τί γὰρ ἐλλείπει μὴ οὐ παραπαίειν
ἡ τοῦδ᾽ αὔχη; τί χαλᾷ μανιῶν;
ἀλλ᾽ οὖν ὑμεῖς γ᾽ αἱ πημοσύναις

καὶ κυμάνσει. Πρβ. Σχολ. Ἀράτ. Φαιν. σελ. 53 «ῥόθια· τὰ ῥεύματα· κυρίως δὲ αἱ τοῦ κλύδωνος ὁρμαί».—*συγχώσειεν*: Σχολ. «συγκαλύψειεν». Πρβ. 1122, Verg. Aen. XII 204 non si tellurem effundat in undas diluvio miscens caelumque in Tartara solvat καὶ Lucret. III 854 non si terra mari miscebitur et mare caelo.

1084 κέ. *ἄρδην*] Πρβ. Εὐστάθ. εἰς Ἰλ. σελ. 707, 37 «ἐκ τοῦ αἴρειν, ὥσπερ ἐκ τοῦ ἀείρειν γίγνεται τὸ ἀέρδην· ἔστι γάρ φασιν τὸ ἄρδην ἀντὶ τοῦ φοράδην. Εὐριπίδης Ἀλκήστιδι (607)· νέκυν ἤδη πρόσπολοι φέρουσιν ἄρδην ἐς τάφον τε καὶ πυράν» καὶ Ἡσύχ. «ἄρδην· φοράδην ἢ παντελῶς ἢ ἀθρόως ἢ ἐξ ὁλοκλήρου». Ὁμοίως τῷ ἐπιρρήματι τούτῳ ἐσχηματίσθησαν τὰ *σύρδην* ἀπὸ τοῦ σύρω καὶ *φύρδην* ἀπὸ τοῦ φύρω καὶ *μίγδην* ἀπὸ τοῦ μίγνυμι. —*ῥίψειε*: Τὸ ὑποκείμενον εἶναι ὁ Ζεύς. Ὡσαύτως δὲ καὶ τοῦ *θανατώσει* εἶναι τὸ αὐτὸ ὑποκείμενον, ὥσπερ στίχ. 1026 μετὰ τὸ προηγησάμενον (1024) ῥιπτέσθω φλόξ.—*ἀνάγκης στερραῖς δίναις*: πρβ. Εὐρ. Ἑκ. 1295 στερρὰ γὰρ ἀνάγκη.

1086. *πάντως... οὐ*] ὡς 349. Πρὸς τὴν ἔννοιαν πρβ. 965.

1087. *τῶν φρενοπλήκτων ἔστιν ἀκοῦσαι*] ὡς Ἀγ. 336 καὶ τῶν ἁλόντων καὶ κρατησάντων δίχα φθογγὰς ἀκούειν ἔστι συμφορᾶς διπλῆς.

1089. *τί ἐλλείπει μὴ οὐ παραπαίειν*] Τὸ *ἐλλείπειν* περιέχει ἀνανευτικὴν ἔννοιαν. Πρβ. 654, Εὐρ. Ἰφ. τ. ἐ. Α. 41 τῶν ἀπόρων οὐδενὸς ἐνδεῖς μὴ οὐ μαίνεσθαι, Τρ. 796 τίνος ἐνδέομεν μὴ οὐ πανσυδίᾳ χωρεῖν ὀλέθρου διὰ παντός; Σοφ. Ο. Τ. 1232 λείπει μὲν οὐδ᾽ ἃ πρόσθεν εἴδομεν τὸ μὴ οὐ βαρύστον᾽ εἶναι καὶ Κρυγ. Α′ § 67, 12, 6. —Καθὰ μηνύει τὸ ἀπόσπ. 314 εἶτ᾽ οὖν σοφιστὴς κᾶλα παραπαίων χέλυν, τὸ *παραπαίειν* ἐλήφθη ἀπὸ τῆς παρὰ τὸν ῥυθμὸν κρούσεως μουσικοῦ ὀργάνου. Πρβ. Ἀριστοφ. Πλοῦτ. 508 ξυνθιασώτα τοῦ ληρεῖν καὶ παραπαίειν, Εἰρ. 90 ὦ δέσποτ᾽ ἄναξ, ὡς παραπαίεις, Πλάτ. Συμπ. 173 Ε μαίνομαι καὶ παραπαίω καὶ σημ. εἰς 604.

1090. *αὔχη*] ἡ μεγαληγορία καὶ κομπορρημοσύνη. Πρβ. Πινδ. Νεμ. 11, 29 κενεόφρονες αὖχαι, Ἡσύχ. «αὐχάν· καύχησιν». — *χαλᾷ*: ἔχει ὑποκείμενον τὸ Προμηθεύς.

1091. *ὑμεῖς*] Σχολ. «ὦ Ὠκεανίδες». — *πημοσύναις συγκάμνουσαι*: πρβ. 429.

συγκάμνουσαι ταῖς τοῦδε τόπων
μετά ποι χωρεῖτ' ἐκ τῶνδε θοῶς,
μὴ φρένας ὑμῶν ἠλιθιώσῃ
βροντῆς μύκημ' ἀτέραμνον.

ΧΟΡΟΣ.

ἄλλο τι φώνει καὶ παραμυθοῦ μ'
ὅ τι καὶ πείσεις· οὐ γὰρ δή που
τοῦτό γε τλητὸν παρέσυρας ἔπος.
πῶς με κελεύεις κακότητ' ἀσκεῖν;
μετὰ τοῦδ' ὅ τι χρὴ πάσχειν ἐθέλω·
τοὺς προδότας γὰρ μισεῖν ἔμαθον,

1093 κἑ. *μετά ποι χωρεῖτε*] μεταχωρεῖτέ ποι.

1094 κἑ. *ἠλιθιώσῃ*] Σχολ. «ματαιώσῃ, παραπλῆγας ποιήσῃ» ἤτοι ἐμβροντήτους, ἠλιθίους καὶ ἀναισθήτους. — *ἀτέραμνον*: ἰδὲ σημ. εἰς 206.

1096 κἑ *παραμυθοῦ*] ὡς παρηγορεῖν 1033 — Τὸ *παρασύρειν* σημαίνει κυρίως σύρειν ἐν πλευρᾷ καὶ ἐν πλαγίῳ, ἔνθα οὐχ ἁρμόζει τὸ σύρειν, εἶτα δὲ βίᾳ ἀποσπᾶν. Πρβλ. Ἀριστοφάν. Ἱππ. 526 Κρατίνου μεμνημένος, ὃς πολλῷ ῥεύσας ποτ' ἐπαίνῳ διὰ τῶν ἀφελῶν πεδίων ἔρρει καὶ τῆς στάσεως παρασύρων ἐφόρει τὰς δρῦς καὶ τὰς πλατάνους καὶ τοὺς ἐχθροὺς προθελύμνους, Λουκιαν. Νιγρ. 16 ὑφ' ἧς (ἡδονῆς) δὴ ῥεούσης ἀεννάῳ καὶ θολερῷ ῥεύματι παρασύρεται, τῆς ψυχῆς ὑποκλυζομένης πάντοθεν, αἰδώς τε καὶ ἀρετή. Ἐνταῦθα τὸ *παρασύρειν ἔπος* οὖσα ῥῆσις, οἷα τὸ *αἰάζειν αὐδήν*, *ποικίλλειν εἰκώ*, σημαίνει ἀποσπᾶν, ἐκβάλλειν, ῥίπτειν ἄκαιρον καὶ φορτικὸν καὶ ἀνοίκειον τῇ περιστάσει λόγον, μετέχοντα βορβόρου καὶ βιαίας ἀγροικίας. Πρβ. σημ. εἰς 328.

1099. *κακότητα ἀσκεῖν*] Πρβ. Σοφ. Ο. ἐ. Κ. 913 δίκαι' ἀσκοῦσαν... πόλιν, Τραχ. 384 λαθραῖ' ὅς ἀσκεῖ μὴ πρέποντ' αὐτῷ κακά, Εὐρ. Βάκχ. 641 πρὸς σοφοῦ γὰρ ἀνδρὸς ἀσκεῖν σώφρον' εὐοργησίαν, Ἰκ. 872 ἄλλην χρηστότητ' ἠσκηκότα, 912 αἰσχύνεται δὲ τἀγάθ' ἀσκήσας ἀνὴρ κακὸς κεκλῆσθαι πᾶς τις καὶ Ἡροδ. 7, 209 τὴν ἀληθηΐην ἀσκέειν.

1100. Διὰ τούτων αἰτιολογεῖται ἡ ἀπὸ τῆς ὀρχήστρας ἀπέλευσις τοῦ χοροῦ, ὅστις ἐν τῇ ἐκρήξει τῆς καταιγίδος συσπειρώμενος περὶ τὸν Προμηθέα κατέρχεται σὺν αὐτῷ εἰς τὰ βάθη.

1101. *τοὺς προδότας μισεῖν ἔμαθον*] Ὁ Reisig διεῖδεν ἐνταῦθα ὑπαινιγμὸν τῆς προδοσίας τοῦ Παυσανίου, ὁ Hermann διενοήθη τὸν Θεμιστοκλέα ὑπομιμνήσκων τοὺς ὑβριστικοὺς στίχους, οὓς ὁ Ῥόδιος Τιμοκρέων ξένος ὢν αὐτοῦ ἐποίησε πρὸ τῆς εἰς Ἄδμητον καὶ τὸν βασιλέα τῆς Περσίας ἐξορίας. Τοὺς δὲ εἰρημένους στίχους διέσωσεν ὁ Πλούταρχος β. Θεμιστοκλέους 21: Θεμιστοκλῆ ἤχθαρε Λατώ, ψεύσταν, ἄδικον, προδόταν, ὃς Τιμοκρέοντα ξεῖνον ἐόντ' ἀργυρίοις σκυβαλικτοῖσι πεισθεὶς οὐ κάταγεν εἰς πάτραν Ἰάλυσον κτλ. Παρασημειοῦται δὲ ὁ Hermann, ὅτι ἡ μνεία τοιαύτης ἰδιωτικῆς προδοσίας καταλειφθέντος φίλου ἁρμόζει ἐνταῦθα μᾶλλον ἢ ἡ μνεία τῆς προδοσίας τῆς πολιτείας οὐδὲ εἶναι θαυμαστόν, ὅτι τὰ διαθρυλούμενα παρὰ τοῖς Ἀθηναίοις δὲν διέφυγον τὴν ἐπὶ τῆς σκηνῆς μνείαν. Ἀλλ' ὅμως τοιαῦ-

κοὐκ ἔστι νόσος
τῆσδ' ἥντιν' ἀπέπτυσα μᾶλλον.

ΕΡΜΗΣ.

ἀλλ' οὖν μέμνησθ' ἁγὼ προλέγω·
μηδὲ πρὸς ἄτης θηραθεῖσαι
μέμψησθε τύχην,
μηδέ ποτ' εἴπηθ' ὡς Ζεὺς ὑμᾶς
εἰς ἀπρόοπτον πῆμ' εἰσέβαλεν·
μὴ δῆτ', αὐταὶ δ' ὑμᾶς αὐτάς.
εἰδυῖαι γὰρ κοὐκ ἐξαίφνης
οὐδὲ λαθραίως
εἰς ἀπέραντον δίκτυον ἄτης
ἐμπλεχθήσεσθ' ὑπ' ἀνοίας.

ΠΡΟΜΗΘΕΥΣ.

καὶ μὴν ἔργῳ κοὐκέτι μύθῳ

ται ὕβρεις δυσκόλως θὰ ἠξιοῦντο τῆς προσοχῆς τοῦ Αἰσχύλου.

1102 κέ. *νόσος*] Πρβ.σημ. εἰς 712. — *ἀπέπτυσα*: ὡς Εὐρ. Ἰφ. τ. ἐ. Τ. 1161. Ὡσαύτως δὲ κεῖνται ἤνεσα, ἐπήνεσα, ἀπώμοσα, ᾤμωξα, μετέγνων, ἔνθα ὁ ἀόριστος ἐκφράζει τὴν στιγμιαίαν ἐκδήλωσιν ἐσωτερικῆς συγκινήσεως. Ἐπιθι Κρυγ. Β' § 53, 6, 2.

1105 κέ. *πρὸς ἄτης θηραθεῖσαι*] κρατηθεῖσαι ὑπὸ τῆς ἄτης καὶ εἰς βλάβην ἐμπεσοῦσαι.— *τύχην*: τὴν δυστυχίαν ἣν μέλλετε παθεῖν. Πρβ. Ὁμ. Ὀδ. 1, 32 ὢ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται· ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι· οἳ δὲ καὶ αὐτοὶ σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν.

1109. *αὐταὶ δ' ὑμᾶς αὐτὰς*] Σχολ. «λείπει τὸ αἰτιᾶσθε». Οὐχὶ ὀρθῶς, διότι ὑπονοεῖται μᾶλλον τό: εἰσεβάλετε εἰς πῆμα.

1112. *δίκτυον ἄτης*] Τῇ ῥήσει ταύτῃ φιληδεῖ ὁ Αἰσχύλος. Πρβ. Ἀγ. 372 μέγα δουλείας γάγγαμον, ἄτην πανάλωτον.— *ἀπέραντον*: ἀδιέξοδον. Πρβ. σημ. εἰς 163, Ἀγ. 1381 ἄπειρον ἀμφίβληστρον, ὥσπερ ἰχθύων περιστιχίζω, Εὐμ. 637 ἐν δ' ἀτέρμονι κόπτει πεδήσασ' ἄνδρα . . πέπλῳ, Πέρσ. 100 εἰς ἄρκυας ἄτας, τόθεν οὐκ ἔστιν . ἐξαλύξαι, Εὐρ. Ὀρ. 25 ἣ πόσιν ἀπείρῳ περιβαλοῦσ' ὑφάσματι ἔκτεινεν.

1113. Ὁ Ἑρμῆς ἀναβαίνει εἰς τὰ ὕψη, ὁπόθεν κατῆλθεν (ἰδὲ σημ. εἰς 973).

1114. *ἔργῳ κοὐκέτι μύθῳ*] Πρβ. 352. — Πρὸς μίμησιν βροντῆς καὶ ἀστραπῆς ἐπὶ τῆς σκηνῆς εἶχον οἱ ἀρχαῖοι τὸ καλούμενον *βροντεῖον* καὶ τὸ κεραυνοσκοπεῖον (ἀνθ' οὗ ὁ Wieseler γράφει κεραυνοσκηπτεῖον). Πρβ. Πολλυδ.4,130 «κεραυνοσκοπεῖον καὶ βροντεῖον τὸ μέν ἐστι περίακτος ὑψηλή, τὸ δὲ βροντεῖον ὑπὸ τῇ σκηνῇ ὄπισθεν ἀσκοὶ ψήφων (λίθων) ἔμπλεοι διωγκωμένοι φέρονται κατὰ χαλκωμάτων», Γραμμ. περὶ κωμῳδ. παρὰ Dübner Schol. Gr. in Aristophanem σελ. XX 31 «κατεσκευάζετο ἡ σκηνὴ . .

χθὼν σεσάλευται.
βρυχία δ' ἠχὼ παραμυκᾶται
βροντῆς, ἕλικες δ' ἐκλάμπουσι
στεροπῆς ζάπυροι, στρόμβοι δὲ κόνιν
εἱλίσσουσι· σκιρτᾷ δ' ἀνέμων
πνεύματα πάντων εἰς ἄλληλα
στάσιν ἀντίπνουν ἀποδεικνύμενα·

βύρσαις τε παταγούσαις καὶ χεροτινάκτῳ πυρί». Ἥκιστα δὲ εἶναι σαφές, πῶς ἐσφενδονῶντο οἱ κεραυνοί. Ἐπιθι A. Müller, Griech. Bühnenaltertümer σελ. 157 σημ. 2 καὶ Wieseler Scaenica σελ. 3 (Nachrichten der Gött. Gesellsch. der Wissenschaften 1890 ἀριθ. 5).

1115. Τὸ μονόμετρον (πρβ. σημ. εἰς 97) κατέχει τὴν θέσιν ἑνὸς διμέτρου (πρβ. σημ. εἰς 1072).

1116. *βρυχία*] Ἡσύχ. «βρύχιος· ὑποβρύχιος», ὑπὸ τὴν ἐπιφάνειαν. Ἡ ῥῆσις *βρυχία ἠχὼ* δὲν σημαίνει τὴν βρέμουσαν ἠχώ, ἀλλὰ τὴν ὑποχθονίαν τῆς βροντῆς ἠχώ, καθὰ εἴρηται 1025 χθονίοις βροντήμασιν, ἡ δὲ λέξις *βρύχιος* κεῖται κατὰ τὸν Hermann ἐνταῦθα ἐν ᾗ σημασίᾳ πολλάκις καὶ τὸ *ὑποβρύχιος* σημαῖνον οὐ μόνον τὸ ὑπὸ τὴν ἐπιφάνειαν τοῦ ὕδατος, ἀλλ' ἐν γένει τὸ ὑπὸ τὴν ἐπιφάνειαν ἑκάστου πράγματος ὑπάρχον. Πρβ. Πλάτ. Φαίδ. σελ. 248 Α αἱ δὲ δὴ ἄλλαι (ψυχαὶ) γλιχόμεναι μὲν ἅπασαι τοῦ ἄνω ἕπονται, ἀδυνατοῦσαι δὲ ὑποβρύχιαι συμπεριφέρονται, πατοῦσαι ἀλλήλας καὶ ἐπιβάλλουσαι, ἑτέρα πρὸ τῆς ἑτέρας πειρωμένη γενέσθαι, Λουκιαν. π. Διψάδ. κ. 3 ἑρπετὰ γὰρ ποικίλα μεγέθει τε μέγιστα καὶ πλήθει πάμπολλα καὶ τὰς μορφὰς ἀλλόκοτα καὶ τὸν ἰὸν ἄμαχα ἐπινέμεται τὴν γῆν, τὰ μὲν ὑποβρύχια φωλεύοντα ἐν μυχῷ τῆς ψάμμου, τὰ δὲ ἄνω ἐπιπολάζοντα, ἔτι δὲ καὶ τοὺς παρ' Ἱπποκράτει καὶ Ἀρεταίῳ τόπους, ἐν οἷς βρύχια καὶ ὑποβρύχια κεῖνται περὶ τῶν φλεβῶν, πυρετῶν καὶ ἄλλων ἐν τῷ βάθει τοῦ σώματος λανθανόντων. — *βρυχία ἠχὼ βροντῆς*: κατὰ συνήθη ἔκφρασιν ἀντὶ βρυχίας ἠχὼ βροντῆς. Πρβ. 1085 ἀνάγκης στερραῖς δίναις. Ἡ ἐπανάστασις τῶν στοιχείων περιγράφεται ὡς ἐν Ἡσ. Θεογ. 705: τόσσος δοῦπος ἔγεντο θεῶν ἔριδι ξυνιόντων, σὺν δ' ἄνεμοί τ' ἔνοσίς τε κονίην ἐσφαράγιζον βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνόν, κῆλα Διὸς μεγάλοιο. — *παραμυκᾶται*: συμπαρέπεται καὶ συνοδεύει τῷ σεισμῷ τῆς γῆς.

1117. *ἕλικες*] Σχολ. «αἱ ἑλικοειδεῖς κατὰ τὰ νέφη τῶν ἀστραπῶν κινήσεις». Πρβ. 1076 καὶ τὸ *ἑλικίας* σημαῖνον κατὰ τὸν Ἀριστοτέλη (περὶ κόσμ. 4) εἶδος κεραυνῶν τῶν γραμμοειδῶς φερομένων.

1118. *ζάπυρος*] Πρβ. 906 ἄπυρος, ἔτι δὲ καὶ ζάθεος, ζαπληθής, ζαχρεῖος παρ' Αἰσχύλῳ, ζαμενὴς παρὰ Σοφοκλεῖ, ζάθεος, ζάχρυσος, ζάπλουτος παρ' Εὐριπίδῃ. — Ἡσύχ. «στρόμβος· δῖνος, συστροφὴ ἀνέμων». — Πρὸς τὸ *κόνιν* πρβ. Ἱκ. 186 ὁρῶ κόνιν, ἄναυδον κτλ., αὐτόθι 791 κόνις ἄτερθε, Χο. 927 ὄφιν, 542 οὖφις. Κατὰ Κραμήρ. Ἀνεκδ. Ὀξων. 3, 298 «Ἀριστοκλῆς ἐν τῷ περὶ διαλέκτων φησὶν Ἀττικοὺς ἐκτείνειν» προσιδιάζει ἡ ἔκτασις αὕτη τῇ ἀττικῇ διαλέκτῳ.

1121. *εἰς ἄλληλα στάσιν ἀντίπνουν ἀποδεικνύμενα*] στασιάζοντα πρὸς ἄλληλα ἐν ἐναντίᾳ πνοῇ. — *ἀντίπνουν*: ἐν τῇ θέσει ἀποτελοῦσι παρὰ τοῖς τραγικοῖς συνήθως μόνον τὰ μέσα (β, γ, δ) πρὸ τῶν ὑγρῶν λ, μ, ν μακρὰν συλλαβήν. Ὁμοία μακρότης ἐ

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

ξυντετάρακται δ' αἰθὴρ πόντῳ.
τοιάδ' ἐπ' ἐμοὶ ῥιπὴ Διόθεν
τεύχουσα φόβον στείχει φανερῶς.
384. *φόβος μ᾽ ἔχει φρένας*] ἔπιθι σημ. εἰς Ἑ. ἐ. Θ. 819 κακόν με καρδίαν τι περιπίτνει κρύος καὶ Κόντον ἐν Ἀθηνᾶς τόμ. 5 σελ. 76.

385. *τύχην ἑλεῖν*] εὐστοχῆσαι, τὸ συμφέρον καὶ ὀρθὸν εὑρεῖν ἢ κατὰ τὸν Σχολ. «καὶ τοῦ συμφέροντος ἐπιτυχεῖν». Ἐμιμήσατο ταῦτα Εὐρ. Ἰφ. τ. ἐ. Α. 55 τὸ πρᾶγμα δ᾽ ἀπόρως εἶχε Τυνδάρεῳ πατρί, δοῦναί τε μὴ δοῦναί τε, τῆς τύχης θ᾽ ὅπως ἅψαιτ᾽ ἄριστα.

386 κἑ. Σχολ. «τὸν ξένιον καὶ ἱκέσιον Δία τὸν φύλακα τῶν ἀτυχούντων, οἵτινες τοῖς πέλας προσιζάνοντες οὐ μεταλαμβάνουσι τῆς δίκης, ἀλλ᾽ ὑπερορῶνται».— *σκοπὸν ἐπισκόπει*: ἡ ὁμοία ῥῆσις παραινίσσεται αἰτιολογικὴν σχέσιν· ἐπειδὴ καθορᾷ ἐκ τοῦ ὕψους τὰ ἀδικήματα, ἀνάβλεψον πρὸς αὐτὸν ἑπόμενος τῷ δικαίῳ.—*τοῖς πέλας προσήμενοι*: τῶν πέλας (τῶν πλησίων καὶ συγγενῶν) ἱκετεύοντες. Πρβ. Σοφ. Ο. Τ. 15 προσήμεθα βωμοῖσι τοῖς σοῖς.— *δίκας ἐννόμου*: τοῦ ὑπὸ τοῦ νόμου ὁριζομένου τοῖς ἱκέταις δικαίου.

390 κἑ. Ὁ χόλος τοῦ ἱκεσίου Διὸς ἀναμένει τοὺς ἀτέγκτους (δυσπαραθέλκτους) καὶ μὴ ἐνδιδόντας τοῖς θρήνοις καὶ παρακλήσεσι τοῦ πάσχοντος καὶ διωκομένου. Πρὸς τὸ *μένει δυσπαραθέλκτους* πρβ. Χο. 62 μένει χρονίζοντας ἄχη, Σοφ. Τραχ. 1239 ἀλλά τοι θεῶν ἀρὰ μένει σ᾽ ἀπιστήσαντα τοῖς ἐμοῖς λόγοις. Ὁ χόλος τοῦ ἱκεσίου Διὸς ἦν μάλιστα τοῖς Ἕλλησι φοβερός (488). Πρβ. Εὐρ. Ἑκ. 345 θάρσει, πέφευγας τὸν ἐμὸν ἱκέσιον Δία, Ὁμ. Ὀδ. 13, 213 Ζεὺς σφείας τίσαιθ᾽ ἱκετήσιος, ὅς τε καὶ ἄλλους ἀνθρώπους ἐφορᾷ καὶ τίνυται ὅστις ἁμάρτῃ καὶ Παυσαν. 8, 25, 1 καλοῦντα τὴν τοῦ Διὸς ὀργὴν *μήνιμα ἀπαραίτητον* καὶ μνημονεύοντα χρησμὸν τῆς Δωδώνης λέγοντα «μηδ᾽ ἱκέτας ἀδικεῖν· ἱκέται δ᾽ ἱεροί τε καὶ ἁγνοί».— Ἐν τῷ *ἱκταίου* εἶναι τὸ αι βραχύ, ὡς ἐν τῷ εὐκταίαν Ἑ. ἐ. Θ. 710, εὐκταία αὐτόθι 826. Πρβ. σημ. εἰς Ἑ. ἐ. Θ. 710.

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

ΒΑΣΙΛΕΥΣ.

εἴ τοι κρατοῦσι παῖδες Αἰγύπτου σέθεν
νόμῳ πόλεως, φάσκοντες ἐγγύτατα γένους
εἶναι, τίς ἂν τοῖσδ᾽ ἀντιωθῆναι θέλοι;
δεῖ τοι σὲ φεύγειν κατὰ νόμους τοὺς οἴκοθεν,
ὡς οὐκ ἔχουσιν κῦρος οὐδὲν ἀμφὶ σοῦ.

ΧΟΡΟΣ.

μή τί ποτ᾽ οὖν γενοίμαν ὑποχείριος στροφ. γ΄.

392 κἑ. *κρατοῦσι . . σέθεν*] ἔχουσιν ἰσχὺν καὶ αὐθεντίαν ἐπὶ σοῦ. Πρβ. Εὐρ. Ἡρακλ. 100 οἱ σοῦ κρατοῦντες ἐνθάδ᾽ εὑρίσκουσί σε καὶ ἀνωτέρω 346. — *νόμῳ πόλεως*: ὁ βασιλεὺς σεβίζων τοὺς ξένων πόλεων νόμους συγχέει αὐτοὺς πρὸς τοὺς ἐγχωρίους καὶ δὴ τοὺς ἐν Ἀττικῇ, οὓς ἔχει πρὸ ὀφθαλμῶν ὁ ποιητής. Ἐάν τις μηδένα υἱόν, ἀλλὰ μίαν ἢ πλείονας θυγατέρας εἶχεν, ἐκαλοῦντο αὗται, ζῶντός τε καὶ ἀποθανόντος τοῦ πατρός, *ἐπίκληροι*, *ἐπικληρίτιδες*, ὑπαρχόντων δὲ ἀδελφῶν, *ἐπίπροικοι*. Πρβ. Ἀριστοφ. Ὄρν. 1652 πῶς ἂν ποτε ἐπίκληρον εἶναι τὴν Ἀθηναίαν δοκεῖς, οὖσαν θυγατέρ᾽, ὄντων ἀδελφῶν γνησίων; — *φάσκοντες ἐγγύτατα γένους εἶναι*: φάσκοντες εἶναι ἐγγυτάτω συγγενεῖς. Πρβ. Πλάτ. Ἱππ. μείζ. σελ. 304 D καὶ γάρ μοι τυγχάνει ἐγγύτατα γένους ὢν καὶ ἐν τῷ αὐτῷ οἰκῶν. Κατὰ τὸ ἀττικὸν δίκαιον οἱ ἐγγυτάτω συγγενεῖς ἠδύναντο νόμῳ ἀγχιστείας νὰ ζητήσωσιν εἰς γάμον τὰς ἐπικλήρους. Πρβ. Ἰσαῖ. 10 § 5 προσῆκον αὐτῇ μετὰ τῶν χρημάτων τῷ ἐγγύτατα γένους συνοικεῖν, Διοδ. 12, 18 τρίτος δὲ νόμος διωρθώθη ὁ περὶ τῶν ἐπικλήρων, ὁ καὶ παρὰ Σόλωνι κείμενος. ἐκέλευε γὰρ τῇ ἐπικλήρῳ ἐπιδικάζεσθαι τὸν ἔγγιστα γένους, ὡσαύτως δὲ καὶ τὴν ἐπίκληρον ἐπιδικάζεσθαι τῷ ἀγχιστῇ κτλ.. ἔτι δὲ καὶ Schoemann, Gr. Alterth. τόμ. 1 σελ. 358. Τὴν αἰτίαν τοῦ γάμου οὕτω στενῶν συγγενῶν παρῃνίξατο ὁ ποιητὴς στίχ. 340.

395. Ὀφείλεις κατὰ τοὺς ἐγχωρίους ἡμῶν νόμους νὰ φύγῃς τὸν γάμον ἀποδεικνῦσα, ὅτι οὐδὲν κῦρος ἔχουσιν οἱ Αἰγυπτιάδαι περὶ σοῦ. — *ὡς οὐκ ἔχουσιν*: μετὰ τοῦ *φεύγειν*, ὡσανεὶ προηγεῖτο *ἀντιλέγουσα* ἤ τι τοιοῦτον. Ἑτέρας φύσεως εἶναι Ξενοφ. Ἑλλην. 1, 3, 19 ὑπαγόμενος θανάτου ὕστερον ἐν Λακεδαίμονι διὰ τὴν προδοσίαν ἀπέφυγεν, ὅτι οὐ προδοίη τὴν πόλιν, ἀλλὰ σῶσαι. — *νόμους τοὺς οἴκοθεν* (νόμῳ πόλεως στίχ. 393): πρβ. Εὐρ. Φοιν. 294 τὸν οἴκοθεν νόμον σέβουσα. — *κῦρος*: Φώτιος «κῦρος· ἐξουσία».

397 κἑ. Μηδαμῶς γενοίμην ποτὲ ὑποχείριος τῷ κράτει τῶν ἀνδρῶν. — *μή τι* (= μηδενὶ τρόπῳ, μηδαμῶς. Πρβ. 435 μή τι τλᾷς) *ποτ᾽ οὖν*: πρβ. Εὐρ. Ἴωνι 719 μή τί ποτ᾽ εἰς ἐμὰν πόλιν ἵκοιθ᾽ ὁ παῖς, Ὀρ. 1147 μὴ γὰρ οὖν ζῴην ἔτι. — *καρτεσιν*: (κράτεσιν) ἀναφέρεται εἰς τὸ εἴ τοι κρατοῦσι 392. Ὁ πληθυντικὸς *κράτη* ἀπαντᾷ καὶ 446 καὶ πολλαχοῦ ἀλλαχοῦ. — *ἀρσένων* (τῶν Αἰγυπτιαδῶν): ὡς 651, 962. Τὴν περὶ τῶν οἰκείων νόμων γνώμην τοῦ βασιλέως οὐδενὸς λόγου ἀξίαν κρίνουσιν αἱ Δαναΐδες. Τὴν ἀντίρρησιν, καθ᾽ ἣν οἱ Αἰγυπτιάδαι, ζῶντος τοῦ Δαναοῦ, οὐδὲν κῦρος ἠδύναντο νὰ ἔχωσι περὶ τῶν θυγατέρων αὐτοῦ, φαίνεται, ὅτι ἀπεταμιεύσατο ὁ ποιητὴς ἐν τῷ τρίτῳ τῆς τριλογίας δράματι.

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

κάρτεσιν ἀρσένων. ὕπαστρον δέ τοι
μῆχαρ ὁρίζομαι γάμου δύσφρονος
φυγάν· ξύμμαχον δ' ἑλόμενος Δίκαν
κρῖνε σέβας τὸ πρὸς θεῶν.

ΒΑΣΙΛΕΥΣ.

οὐκ εὔκριτον τὸ κρῖμα· μὴ 'μ' αἱροῦ κριτήν.

398 κἑ. *ὕπαστρον φυγὰν ὁρίζομαι μῆχαρ γάμου δύσφρονος*] =φυγὴν ἐν ἀτέρμονι καὶ μακρᾷ ὁδῷ ὁρίζω ἐμαυτῷ ὡς ἀλεξητήριον κατὰ τοῦ ἀπεχθοῦς γάμου ἤτοι τὴν εἰς ἀπωτάτω τόπους φυγήν μου δὲν θὰ καταπαύσω πρὶν ἀπαλλαγῶ τοῦ μισητοῦ γάμου. Ὁ Σχολ. «τὴν δὲ τοῦ γάμου μηχανὴν ὁριοῦμαι τοῖς ἄστροις» καὶ ὀρθότερον «ἀντὶ τοῦ μηχανήσομαι φεύγειν δι' ὁδοῦ μακρᾶς τὸν γάμον». Ἡ ῥῆσις *ἄστροις τεκμαίρεσθαι* (σημαίνεθαι) οὖσα παροιμιώδης κυριολεκτεῖται περὶ τῶν πλεόντων ἐν τῇ θαλάσσῃ καὶ τεκμαιρομένων τὴν διεύθυνσιν τῆς ὁδοῦ ἐκ τῶν ἄστρων. Πρб. Λουκ. Ἰκαρομ. 1 εἶτα, ὦ 'γαθέ, καθάπερ οἱ Φοίνικες ἄστροις ἐτεκμαίρου τὴν ἀποδημίαν; Στράб. 17,1 πρότερον μὲν οὖν ἐνυκτοπόρουν πρὸς τὰ ἄστρα βλέποντες οἱ καμηλέμποροι, καθάπερ οἱ πλέοντες ὥδευον. Εἶτα δὲ ἦν ἡ ῥῆσις ἐν χρήσει περὶ τῶν ἐκλειπόντων τὴν ἑαυτῶν πατρίδα καὶ εἰς ἀγνώστους τόπους φευγόντων, ἔνθα μόνα τὰ ἄστρα ἐδήλουν αὐτοῖς τὴν διεύθυνσιν τῆς ὁδοῦ. Πρб. Ἡσύχ. «ἄστροις σημειοῦσθαι· μακρὰν καὶ ἐρήμην ὁδὸν βαδίζειν· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν πλεόντων» καὶ κατὰ ταῦτα ἑρμηνευτέα ἡ ῥῆσις *ὕπαστρος φυγή*, πρὸς ἣν δύναταί τις νὰ παραβάλῃ 244 κηρύκων ὕπο καὶ Ξενοφ. Πολ. Λακεδ. 5, 7 ὑπὸ φανοῦ πορεύεσθαι. Τέλος δὲ ἐλέγετο *ἄστροις τεκμαίρεσθαι* καὶ περὶ τῶν ζητούντων ἐξ ἑνὸς μόνου ὡρισμένου τόπου νὰ ἀπέλθωσι καὶ διὰ τοῦτο τὴν θέσιν τοῦ τόπου τούτου ὁριζόντων ἐκ τῶν ἄστρων, ἵνα μὴ ἀπροόπτως ἐπιστρέψωσιν πάλιν εἰς αὐτόν. Πρб. Σουΐδ. «ἄστροις τεκμαίρεσθαι ἐπὶ τῶν μακρὰν καὶ ἔρημον ὁδὸν πορευομένων καὶ ἄστροις σημειουμένων τὰς θέσεις τῶν πατρίδων». Τοῦτο ἁρμόζει ἐν Σοφ. Ο. Τ. 794 τὴν Κορινθίαν ἄστροις τὸ λοιπὸν ἐκμετρούμενος χθόνα ἔφευγον, ἔνθα μήποτ' ὀψοίμην κακῶν χρησμῶν ὀνείδη τῶν ἐμῶν τελούμενα, Αἰλιαν. π. ζῴ. ἰδιότητος 7, 48 ἧκε δ' οὖν Ἀνδροκλῆς ἐς τὴν Λιβύην καὶ τὰς μὲν πόλεις ἀπελίμπανε καὶ τοῦτο δὴ τὸ λεγόμενον ἄστροις αὐτὰς ἐσημαίνετο, προῄει δὲ ἐς τὴν ἐρήμην, Λιβαν. Μελ. 4 σελ. 184, 20 τὴν ἐρημίαν ἀσπασάμενος ἥμην ἐπ' ἐμαυτοῦ, τὴν ἐκκλησίαν καὶ τὸ βῆμα καὶ τοὺς ἐνταυθοῖ θορύβους ἄστροις τὸ λοιπὸν τεκμαιρόμενος, καὶ ἐν περαιτέρω μεταφορᾷ ἐν Ἡρακλεἱτ. Ὁμ. Ἀλληγ. σελ. 151 Ἐπίκουρος ὁ πᾶσαν ποιητικὴν ἄστροις σημηνάμενος. Παρασημειωτέον δὲ ὅτι ὁ Weil ἐκλαμβάνει τὴν ῥῆσιν *φυγὴ ὕπαστρος* σημαίνουσαν τὴν θαλασσίαν φυγήν, ἣν ἐποιήσατο ἤδη ὁ χορός, οὐχὶ δὲ καὶ ἣν μέλλει νὰ ποιήσηται. — *δύσφρονος*: κατὰ μεταφορὰν ἀπὸ τοῦ προσώπου τῶν Αἰγυπτιαδῶν. Ἄλλως ἠδύνατό τις νὰ εἰκάσῃ γάμου *δυσφόρου*.

400. *ξύμμαχον . . τὸ πρὸς θεῶν σέβας*] προσλαβὼν τὴν Δίκην (τὸ δίκαιον) σύμμαχον (πρб. 345) κρῖνε τί εἶναι ἱερὸν καὶ σεβάσμιον παρὰ τοῖς θεοῖς. — *τὸ πρὸς θεῶν σέβας*: πρб. Σοφ. Ἀντ. 77 τὰ τῶν θεῶν ἔντιμα. Κακῶς ἑρμηνεύουσί τινες: elige reverentiam erga deos, διότι τοῦτο δὲν δύναται νὰ ἐκφρασθῇ διὰ τοῦ πρὸς θεῶν. — Ἡ ἐγγὺς κειμένη ἀπάντησις, ὅτι δὲν δύναταί τις νὰ προσενεχθῇ πρὸς τὰς

εἶπον δὲ καὶ πρίν, οὐκ ἄνευ δήμου τάδε
πράξαιμ᾽ ἄν, οὐδέπερ κρατῶν, μὴ καί ποτε
εἴπῃ λεώς, εἴ πού τι μὴ τοῖον τύχοι,
«ἐπήλυδας τιμῶν ἀπώλεσας πόλιν».

ΧΟΡΟΣ.

ἀμφοτέρους δαήμων τάδ᾽ ἐπισκοπεῖ ἀντιστρ. γ΄.
Ζεὺς ἑτερορρεπής, νέμων εἰκότως
ἄλλερα μὲν κακοῖς, αἴσια δ᾽ ἐννόμοις.
τί τῶνδ᾽ ἐξ ἴσου ῥεπομένων μεταλ-
γεῖς τὸ δίκαιον ἔρξαι;

Δαναΐδας ὡς πρὸς ἐπικλήρους, ἅτε τοῦ πατρὸς ζῶντος ἔτι, φαίνεται ὅτι, ὥσπερ 391. παρελείφθη ἐνταῦθα δι᾽ ὃν λόγον καὶ ἐν τῷ στίχῳ ἐκείνῳ.

403. *καὶ πρὶν*] στίχ. 371 κέ.

404. *οὐδέ περ κρατῶν*] καίπερ κρατῶν καὶ ἄρχων. Πρβ. Χο. 502 οὕτω γὰρ οὐ τέθνηκας οὐδέ περ θανών.—*μὴ καὶ . . πόλιν*: ὁ ποιητὴς εἶχε πρὸ ὀφθαλμῶν Ὁμ. Ἰλ. 22, 105 αἰδέομαι Τρῶας καὶ Τρῳάδας ἑλκεσιπέπλους, μή ποτέ τις εἴπῃσι κακώτερος ἄλλος ἐμεῖο, Ἕκτωρ ἦφι βίηφι πιθήσας ὤλεσε λαόν.— *τοῖον*: οἷόν τις εὔχεται καὶ ποθεῖ, ἀλλ᾽ ἐναντίον. Πρβ. Ἡσύχ. «τοῖον· τοιοῦτον· οὕτως ἀγαθὸν . . τάσσεται καὶ ἐπὶ θαυμασμοῦ» καὶ σημ. εἰς Ἑ. ἐ. Θ. 567.

406. *ἐπήλυδας*] εἴρηται διὰ τὴν ἀντίθεσιν αὐτοῦ πρὸς τὸ πόλιν (πολίτας, ἀστοὺς) μετά τινος περιφρονήσεως. Πρβ. 201 καὶ Εὐρ. Ἰφ. τ. ἐ. Τ. 1021 δεινὸν τόδ᾽ εἶπας, ξενοφονεῖν ἐπήλυδας. Τὸ βρῖθος τῆς μομφῆς ἐκφράζεται καὶ ἐν τῇ νωθρότητι καὶ δυσκινησίᾳ τοῦ στίχου. Ἔπιθι σημ. εἰς Πέρσ. 254 ὡς ἐν μιᾷ πληγῇ κατέφθαρται πολὺς καὶ κατωτέρω 474, 958, 1027.

407 κέ. *ἀμφοτέρους δαήμων*] *δαήμων* συντέτακται, ὥσπερ *δαείς*. Πρβ. σημ. εἰς 155 κέ. Ὁ νοῦς: ἀμφοτέρους (τοὺς δικαίους καὶ ἀδίκους) γινώσκων καθορᾷ ὁ Ζεὺς ταύτας τὰς πράξεις ῥέπων μόνον πρὸς τὸ μέρος τοῦ δικαίου. Σχολ. «αὐτὸς ἐπεξηγήσατο τί ἐστιν ἑτερορρεπής». Πρβ. Ἄρης ἑτεραλκὴς Πέρσ. 954 καὶ τὸ ὁμηρικὸν μάχης ἑτεραλκέα νίκην Ἰλ. 7, 26. Ἄλλως κεῖται Ἡροδ. 8,11 ἑτεραλκέως (ἀμφιρρόπως) ἀγωνιζομένους. Πρὸς τὴν ἔννοιαν πρβ. Ζεὺς νεμέτωρ Ἑ. ἐ. Θ. 472.

409. *ἄλλερα - αἴσια*] Ἡσύχ. «ἄλλερα· ἐχθρά, πολέμια, ἄδικα» καὶ «αἴσια· εἱμαρμένα, δίκαια, καθήκοντα», ὅθεν κακὰ μὲν κακοῖς, ἀγαθὰ δὲ ἀγαθοῖς.

410 κέ. Σχολ. «εἰ ὁ Ζεὺς τὸ ἴσον φυλάττει, τί ἀπορεῖς συμμαχῆσαι τῷ Διί;». Τούτων ἀμεροληπτως ζυγοστατουμένων, τί μετανοεῖς καὶ διστάζεις νὰ πράξῃς τὸ δίκαιον; Μόνον ἐνταῦθα ἀπαντᾷ ὁ παθητικὸς τύπος *ῥεπομένων*. Ἀλλ᾽ ὅμως εὕρηται *ἐπιρρέπειν* (Ἀγ. 261, Εὐμ. 889, Θεόγν. 157) καὶ *καταρρέπειν* (Σοφ. Ἀντ. 1158) ἐνεργητικῶς. Ἐν τῷ *μεταλγεῖν* ἡ *μετὰ* σημαίνει μεταβολὴν ἐννοίας, ὡς ἐν τοῖς μεταγιγνώσκειν, μεταμανθάνειν, μεταμέλεσθαι, μεταστένειν, καὶ δισταγμὸν περὶ τοῦ πρακτέου. Πρβ. καὶ Ὁμ. Ὀδ. 22, 232 ὀλοφύρεαι ἄλκιμος εἶναι. Οὐχὶ κακῶς ὁ Δούκας «ἀφεὶς τὸν εἰς ἡμᾶς οἶκτον μετατρέπῃ εἰς ἑτέραν κατάστασιν τῆς ψυχῆς· μεταμέλειαν ᾄδεις, ὡς τὸ μεταμανθάνεις τὸν τῦφον καὶ τὰ τοιαῦτα».

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

ΒΑΣΙΛΕΥΣ.

δεῖ τοι βαθείας φροντίδος σωτηρίου,
δίκην κολυμβητῆρος ἐς βυθὸν μολεῖν
δεδορκὸς ὄμμα μηδ' ἄγαν ᾠνωμένον,
ὅπως ἄνατα ταῦτα πρῶτα μὲν πόλει
αὐτοῖσί θ' ἡμῖν ἐκτελευτήσει καλῶς,
καὶ μήτε δῆρις ῥυσίων ἐφάψεται

412 κέ. Σχολ. «δεῖ δὴ εἰς βυθὸν μολεῖν φροντίδος βαθείας σωτηρίου δίκην κολυμβητῆρος. τοῦτο δὲ τοῖς σπογγοτόμοις συμβαίνει, τὸ πόρρωθεν σκοπεῖν καὶ περιβλέπεσθαι». Ἀλλ' ὅμως ἡ ἐξάρτησις τοῦ *βαθείας φροντίδος* ἐκ τοῦ *βυθὸν* καὶ ἡ συνάρτησις τῶν λέξεων: δεῖ τοι δεδορκὸς ὄμμα ἐς βυθὸν μολεῖν φροντίδος σωτηρίας δίκην κολυμβητῆρος εἶναι ἀδύνατος, καὶ φαίνεται πολλῷ πιθανωτέρα ἡ γνώμη, καθ' ἣν ἤρτηται ἐκ τοῦ *δεῖ* ἥ τε γενικὴ *φροντίδος* καὶ τὸ ἑπόμενον κῶλον ὄμμα ἐς βυθὸν μολεῖν, ὃν ἀκριβέστερος προσδιορισμὸς καὶ οἱονεὶ παράθεσις εἰς τὸ *βαθείας φροντίδος* ἐν τῇδε τῇ συνθήκῃ τῶν λέξεων: δεῖ βαθείας φροντίδος σωτηρίου, (ὥστε) ὄμμα δεδορκὸς μολεῖν δίκην κολυμβητῆρος ἐς βυθὸν (πραγμάτων). Πρβ. Ἀγ. 351 δεῖ γὰρ πρὸς οἴκους νοστίμου σωτηρίας, κάμψαι διαύλου θάτερον κῶλον πάλιν. Κατὰ ταῦτα ἡ ἔννοια εἶναι: Ἀνάγκη βαθείας σκέψεως, προξενούσης σωτηρίαν καὶ εὐτυχῆ τῶν πραγμάτων ἀπόβασιν, τὸ δὲ ὀξὺ βλέπον ὄμμα καὶ μὴ τεθολωμένον, ὥσπερ τὸ ὄμμα τοῦ μεθύοντος, εἰσδυσάσθω εἰς τὰ βάθη. Ἡ εἰκὼν δηλοῦσα τὴν βαθεῖαν σκέψιν προσιδιάζει τῷ Αἰσχύλῳ. — *ὄμμα δεδορκός*: παραινίσσεται τὸν κολυμβητῆρα, ὅστις καταβαίνων εἰς τὰ βάθη ἔχει τοὺς ὀφθαλμοὺς ἀνοικτούς, ἵνα διακρίνῃ σπόγγους, ὄστρεα καὶ τὰ τοιαῦτα. Ὁ κολυμβητὴρ (κολυμβητὴς) ὀνομάζεται παρ' Ὁμήρῳ ἀρνευτὴρ (ἐρευνητὴς ὀστρέων) Ἰλ. 16, 742 ὃ δ' ἄρ' ἀρνευτῆρι ἐοικὼς κάππεσ' ἀπ' εὐεργέος δίφρου . . ὢ πόποι, ἦ μάλ' ἐλαφρὸς ἀνήρ, ὡς ῥεῖα κυβιστᾷ· εἰ δή που καὶ πόντῳ ἐν ἰχθυόεντι γένοιτο, πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν, νηὸς ἀποθρῴσκων κτλ.

415 κέ. *πρῶτα μὲν . . τε*] πρβ. σημ. εἰς Ἑ. ἐ. Θ. 907 καὶ Σοφ. Φιλ. 1424 πρῶτον μὲν νόσου παύσῃ λυγρᾶς ἀρετῇ τε πρῶτος ἐκκριθεὶς στρατεύματος Πάριν . . νοσφιεῖς βίου. Εὐρ. Μηδ. 125 τῶν γὰρ μετρίων πρῶτα μὲν εἰπεῖν τοὔνομα νικᾷ χρῆσθαί τε μακρῷ λῷστα βροτοῖσιν, Ἱππ. 996 ἐπίσταμαι γὰρ πρῶτα μὲν θεοὺς σέβειν φίλοις τε χρῆσθαι, Ἡρακλεῖδ. 337 πρῶτα μὲν σκοποὺς πέμψω πρὸς αὐτόν . . μάντεις τ' ἀθροίσας θύσομαι, Ἴωνι 401 πρῶτον μὲν ὁ θεός . . χαιρέτω σύ τ' ὦ γύναι. — *ὅπως . . ἐκτελευτήσει . . ἐφάψεται . . θησόμεθα*: Τὸ *ὅπως* μετὰ μέλλοντος σημαίνει τὸν τρόπον τῆς ἐκτελέσεως καὶ ἀποβάσεως πράγματός τινος, προηγουμένων τοῦ βουλεύεσθαι ἢ φροντίζειν. — *ἄνατα . . καλῶς*: ἐπεξήγησις τοῦ *φροντίδος σωτηρίας*.

417. *δῆρις*] ἔρις, βία. Ἡ ἐπικὴ αὕτη λέξις ἀπαντᾷ καὶ Ἀγ. 933 δήριος (μετὰ ἰωνικῆς καταλήξεως), ἀδήριτος Προμ. 105. — *ῥυσίων*: ἔπιθι σημ. εἰς 318. Οἱ υἱοὶ τοῦ Αἰγύπτου δύνανται νὰ ἀπαγάγωσι βίᾳ λείαν, ἵνα ἐξαναγκάσωσι τὸν βασιλέα εἰς παράδοσιν τῶν Δαναΐδων. Συνήθως ἑπόμενοι τῷ Σχολ. «ἀντὶ τῶν ἱκετίδων» ἀναφέρουσι τὸ *ῥυσίων* εἰς τὰς Δαναΐδας, ὡς ὁ Schütz

μήτ' ἐν θεῶν ἕδραισιν ὧδ' ἱδρυμένας
ἐκδόντες ὑμᾶς τὸν πανώλεθρον θεὸν
βαρὺν ξύνοικον θησόμεσθ' Ἀλάστορα,
ὃς οὐδ' ἐν Ἅιδου τὸν θανόντ' ἐλευθεροῖ.
μῶν οὐ δοκεῖ δεῖν φροντίδος σωτηρίου;

ΧΟΡΟΣ.

φρόντισον καὶ γενοῦ — στροφ. α'.
πανδίκως εὐσεβὴς
πρόξενος·

γράφων: ῥύσια dicuntur supplices quasi pignora, quatenus Aegypti filii ius eas sibi vindicandi et ubi invenissent abducendi affectabant, καὶ ἕτεροι ὑπολαμβάνοντες, ὅτι αἱ Δαναΐδες διὰ τοῦ *ῥύσια* δηλοῦνται ὡς ἀπαχθεῖσα λεία, ἥτις ὀφείλει νὰ ἀνακτηθῇ.

418. *ἱδρυμένας ἐν θεῶν ἕδραισιν*] πρβ. Ἡσύχ. «ἱδρύεται· καθέζεται, ἑδράζεται» καὶ Σοφ. Αἴ. 809 οὐχ ἱδρυτέον, οὐχ ἕδρας ἀκμή.

419 κἑ. *τὸν πανώλεθρον θεὸν Ἀλάστορα*] ἔπιθι σημ. εἰς Πέρσ. 357. Ἐνταῦθα σημαίνεται ὁ δαίμων τῆς ἐκδικήσεως καὶ τῆς καταστροφῆς ἐν ᾗ ἐννοίᾳ κεῖται καὶ ἡ Ἐρινύς, ἥτις ὡσαύτως κατέχει τὸν οἶκον, ὃν δὲν ἐκλείπει πρὶν τιμωρηθῇ τὸ κακὸν ἔργον (Ἀγ. 1185 κἑ.). Πρβ. 655 κἑ., Ἡσύχ. «ἀλάστωρ· πικρὸς δαίμων, Ζεύς».— *βαρὺν*: πρβ. Εὐμ., ἔνθα ἡ Ἐρινὺς ἀπειλεῖ 723 βαρεῖα χώρᾳ τῇδ' ὁμιλήσω πάλιν.— *θησόμεθα ξύνοικον*: πρβ. Σοφ. Ο. ἐ. Κ. 788 χώρας ἀλάστωρ οὑμὸς ἐνναίων ἀεί. Ὁ ἀλάστωρ θὰ ἐπισκήψῃ εἰς τὴν χώραν ἕνεκα τῆς ὀργῆς τοῦ Ἱκεσίου Διὸς καὶ τῶν ἄλλων θεῶν. Πρβ. στίχ. 390 καὶ 434.

421. Πρβ. σημ. εἰς 237 καὶ Εὐμ. 175 ὑπό τε γᾶν φυγὼν οὔ ποτ' ἐλευθεροῦται, Ἑ. ἐ. Θ. 1008 ἄγος δὲ καὶ θανὼν κεκτήσεται θεῶν πατρῴων.

422. *μῶν οὐ δοκεῖ;*] ἀρά γε δὲν νομίζεις, μὴ δὲν βλέπεις, ὡς μῶν οὐχ ὁρᾷς; Σοφ. Ο. ἐ. Κ. 1729, μῶν οὐ πέπονθας; Εὐρ. Μηδ. 733, μῶν οὐ παιδιὰν νομιστέον; Πλάτ. Σοφ. 234 Α καὶ ἀλλαχοῦ πολλαχοῦ. Ἐπειδὴ τὸ *μῶν* προϋποτίθησιν ἄρνησιν τῆς ἐρωτήσεως, διὰ τοῦτο τὸ μὲν *μῶν δοκεῖ;* σημαίνει δὲν νομίζεις, τὸ δὲ *μῶν οὐ δοκεῖ;* δὲν ἀμφιβάλλεις, ἀλλὰ πιστεύεις.

423-446 Χορικόν, ὅπερ συμπαρέπεται ταῖς σκέψεσι τοῦ βασιλέως, ὥσπερ Χο. 152-163 τῇ παρὰ τὸν τάφον θυσίᾳ. Αἱ τρεῖς αἰτίαι, αἵτινες ἐξεγείρουσιν παρὰ τῷ διστάζοντι βασιλεῖ εὐμενῆ πρὸς τὰς Δαναΐδας αἰσθήματα, συγκεφαλαιοῦνται ἐκ νέου: Μὴ προδῷς τὰς διωκομένας, μηδὲ ἐπιτρέψῃς νὰ ἀποσπασθῶμεν τῶν ἱερῶν τόπων, μηδὲ ὑπομείνῃς νὰ κακωθῶσιν αἱ ἱκέτιδες. Κατὰ λόγον τῆς πράξεώς σου ἐπίκειται τοῖς σοῖς παισὶ καὶ τῷ σῷ οἴκῳ ἀμοιβὴ ἢ τιμωρία.

423 κἑ. Διὰ τοῦ *φρόντισον* (=σκέψαι) ἀναλαμβάνει ὁ χορὸς τὰς τελευταίας λέξεις τοῦ βασιλέως. — *πανδίκως*: ἐν πάσῃ δικαιοσύνῃ καὶ εἰλικρινείᾳ. Πρβ. Εὐμ. 807 ἐγὼ γὰρ ἡμῖν πανδίκως ὑπίσχομαι, Ἑ. ἐ. Θ. 156, 657, Σοφ. Τραχ. 611 κλύοιμι πανδίκως, 294 χαίροιμι . . πανδίκῳ φρενί.— *εὐσεβής*: ὡς 342 καὶ 952.

425. *πρόξενος*] ἔπιθι σημ. εἰς 245 ἀπρόξενοι. Ὁ πρόξενος ὀφείλει νὰ ἀποκρούσῃ τῶν ὑπ' αὐτοῦ προστατευομένων τὴν βίαν.

τὰν φυγάδα μὴ προδῷς,
τὰν ἕκαθεν ἐκβολαῖς
δυσθέοις ὀρμέναν·

ἀντιστρ. α'.

μηδ' ἴδῃς μ' ἐξ ἑδρᾶν
πανθέων ῥυσια-
σθεῖσαν, ὦ
πᾶν κράτος ἔχων χθονός.
γνῶθι δ' ὕβριν ἀνέρων
θεῶν τ' ἄλευαι κότον.

στροφ. β'.

μή τι τλᾷς τὰν ἱκέτιν εἰσιδεῖν
ἀπὸ βρετέων βίᾳ

426. Τὸ ἀσύνδετον, διότι ἑρμηνεύεται ἀκριβέστερον τὸ προηγησάμενον.

427 κἑ. *ἐκβολαῖς δυσθέοις*] Σχολ. «διωγμοῖς ἀθέοις».—*ἕκαθεν ὀρμέναν*: μακρόθεν ἀπάρασαν ἤτοι ἀθέως καὶ ἀσεβῶς ἐκ τῆς πόρρω κειμένης πατρίδος διωχθεῖσαν.— *ἕκαθεν*: Ἡσύχ. ἕκαθεν· μακρόθεν, πόρρωθεν». Ὁ ἐπικὸς τύπος τῆς τοῦ ἀορίστου μετοχῆς *ὄρμενος* (ὄρνυμι καὶ ὄρνυμαι) ἀπαντᾷ πολλάκις παρ' Αἰσχύλῳ ἐν τοῖς χορικοῖς, οἷον Ἑ. ἐ. Θ. 86, 110, Ἀγ. 1408, ἀποσπ. 74. Πρβ. Σοφ. Ο. Τ. 177.

429 κἑ. *ἴδῃς*] παρίδῃς.— *πανθέων*: πάντων τῶν θεῶν. Πρβ. στίχ. 228.— *ῥυσιασθεῖσαν*: ἀπαχθεῖσαν. Τὸ *ῥυσιάζειν* εἶναι ἡ συνήθης ῥῆσις περὶ τῆς ἀπαγωγῆς προσώπων καὶ λείας ἐκ ξένης χώρας. Πρβ. 618, Εὐρ. Ἴωνι 523 κοὐ ῥυσιάζω, τἀμὰ δ' εὑρίσκων ἄγω, Ἡρακλείδ. 162 τί δῆτα φήσεις, ποῖα πεδί' ἀφαιρεθείς, τί ῥυσιασθεὶς πόλεμον Ἀργείοις ἔχειν; Ἐνταῦθα κεῖται ἡ μετοχὴ τοῦ ἀορίστου, ὡς συνήθως παρὰ τοῖς περιιδεῖν, ὑπεριδεῖν, τοὐναντίον δὲ 437 ἡ τοῦ ἐνεστῶτος ἀγομέναν, δι' ἧς δηλοῦται ἡ διάρκεια τῆς βιαίας κακώσεως.

432. Ἡ προσθήκη *πᾶν . . χθονός*, ἐπαναλαμβάνει τὴν ἐν στίχ. 375-380 ἐκδηλωθεῖσαν ἔννοιαν ποιοῦσα τὸν βασιλέα ὑπεύθυνον τῆς βεβηλώσεως τοῦ ἱεροῦ τόπου.

433. *γνῶθι*] ἔχε αἴσθησιν. — Περὶ τοῦ ἐπικοῦ τύπου *ἀνέρων* ἔπιθι Κριτ. ἐπισημ. εἰς Πέρσ. 650. Παρ' Αἰσχύλῳ παρεδόθη ἡμῖν μόνον τοῦτο τὸ ἓν παράδειγμα.

434. *ἄλευαι*] πρβ. 537, Ἡσύχ. «ἀλευάμενος· ἐκκλίνας, φυλαξάμενος», Ὁμ. Ἰλ. 5, 444 μῆνιν ἀλευάμενος ἑκατηβόλου Ἀπόλλωνος, 22, 285 ἐμὸν ἔγχος ἄλευε. Τοῦ μάλιστα ἐπικοῦ τούτου ῥήματος εὕρηνται παρ' Αἰσχύλῳ καὶ οἱ τύποι ἄλευε, ἄλευσον, ἀλεύσατε, παρὰ δὲ Σοφοκλεῖ (ἀποσπ. 902) ἀλεύσω. Πρβ. στίχ. 419 κἑ.

435. Περὶ τοῦ ὑποτακτικοῦ τύπου *τλᾷς* (ὡς τιμᾷς) ἔπιθι H. L. Ahrens, Dor. Dial. σελ. 313. — *μή τι* (πρβ. σημ. εἰς 397) *τλᾷς*: μηδαμῶς ἀνάσχῃ.

436 κἑ. *βρέτας* δηλοῖ παρὰ τῷ Αἰσχύλῳ πολλάκις ἄγαλμα θεοῦ. Καὶ παρ' Εὐριπίδῃ εἶναι ἡ λέξις συχνή, οὐδέποτε δὲ παρὰ τῷ Σοφοκλεῖ. — *βίᾳ δίκας*: Σχολ. «παρὰ τὴν βούλησιν τῆς δίκης» (πρβ. 806 βίᾳ καρδίας)

δίκας ἀγομέναν
ἱππηδὸν ἀμπύκων
πολυμίτων πέπλων τ'
ἐπιλαβὰς ἐμῶν.

ἴσθι γάρ, παισὶ τάδε καὶ δόμοις, ἀντιστρ. δ'.
ὁπότερ' ἂν κτίσῃς,
μένει ἄρ' ἐκτίνειν
ἀντίρροπον θέμιν.
τάδε φράσαι δίκαι-

ἤτοι παραβαινομένης καὶ βιαζομένης τῆς δίκης.

438 κέ. *ἱππηδὸν*] δίκην ἵππων ἀγομένων τῆς χαίτης. Πρβ. Ἑ. ἐ. Θ. 313 τὰς δὲ κεχειρωμένας ἄγεσθαι . . ἱππηδὸν πλοκάμων, περιρρηγνυμένων φαρέων. Ὥσπερ ἐν Ἑ. ἐ. Θ. ἄγονται αἱ γυναῖκες τῶν πλοκάμων, οὕτως ἐνταῦθα τῶν ἀμπύκων, αἵτινες συνεκράτουν τὰς τρίχας. Πρβ. Σχόλ. εἰς Ὁμ. Ἰλ. 5, 358 «ἄμπυξ ἐκαλεῖτο χρυσῆ σειρὰ τὰς περὶ τὸ μέτωπον τῶν ἵππων τρίχας συνδέουσα», Ἡσύχ. «ἄμπυξ· χαλινός, τριχόδεσμος» καὶ «ἄμπυκα· κεκρύφαλον, κόσμον γυναικῶν», καὶ Ὁμ. Ἰλ. 22, 468 τῆλε δ' ἀπὸ κρατὸς βάλε δέσματα σιγαλόεντα, ἄμπυκα κεκρύφαλόν τε ἰδὲ πλεκτὴν ἀναδέσμην. — *πολυμίτων πέπλων*: περὶ τῶν ποικίλων καὶ εὐυφῶν αἰγυπτίων πέπλων. Πρβ. Plin. H. N. 8, 48 plurimis liciis texere quae polymita appellant Alexandria instituit. Ἡ πολυτέλεια τοῦ πέπλου ἀποτελεῖ ὀδυνηρὰν ἀντίθεσιν πρὸς τὴν διάρρηξιν αὐτοῦ (ἔπιθι σημ. εἰς 128). Πρβ. Εὐρ. Ἰφ. τ. ἐ. Τ. 312 πέπλων τε προυκάλυπτεν (ἐναντίον τῶν βαλλομένων λίθων) εὐπήνους ὑφάς. — *ἐπιλαβάς*: συνήθως ἑπόμενοι τῷ Σχολ. «τὰς ἐπιλήψεις τῶν πέπλων· ἀπὸ κοινοῦ τὸ μὴ τλαίης ἰδεῖν» ἑρμηνεύουσι: μηδαμῶς ὑπομείνῃς νὰ προσίδῃς τὴν ἱκέτιν δίκην ἵππων ἀγομένην τῶν ἀμπύκων ἀπὸ τῶν ἀγαλμάτων μηδὲ ἐπιλαβομένους τοὺς Αἰγυπτιάδας τῶν πολυμίτων ἐμῶν πέπλων.

441 κέ. *ἴσθι, μένει*] Σχολ. «λείπει τὸ ὅτι». Ἀλλ' ὅμως κεῖται τὸ *ἴσθι* καθ' ἑαυτό, ὡς πολλάκις τὸ ἴσθι, σάφ' ἴστε, εὖ γὰρ ἴστε (Πέρσ. 214). — *παισὶ καὶ δόμοις μένει ἐκτίνειν τάδε*: ὥσπερ Εὐρ. ἀποσπ. 733 τοῖς πᾶσιν ἀνθρώποισι κατθανεῖν μένει καί, ἐὰν τὸ κείμενον ἔχῃ ὀρθῶς, Πέρσ. 809 οὗ σφιν κακῶν ὕψιστ' ἐπαμμένει παθεῖν, ἐν οἷς κεῖται ἡ δοτικὴ ἀντὶ τῆς συνήθους αἰτιατικῆς. — *κτίσῃς*: πρβ. Χο. 440 μόρον κτίσαι. Ὁπότερον ἂν παρασκευάσῃς, προστασίαν ἢ ἐγκατάλειψιν ἐμοῦ. — *ἀντίρροπον θέμιν*: ὁμοίαν δίκην. Πρβ. Ἡσύχ «ἀντίρροπον· ἴσον, ἰσόσταθμον, ἰσόζυγον». Τῇ φύσει τῆς πράξεως θὰ συνᾴδῃ ἀμοιβὴ ἢ τιμωρία, εὐλογία ἢ κατάρα. Οὐχὶ ἀκριβῶς ὁ Σχολ. «δίκαιόν ἐστιν ἀποδιδόναι ὁμοίαν δίκην· αἴκε πάθῃ τά κ' ἔρεξε, δίκη δ' ἰθεῖα γένοιτο» (Ἡσιόδ. ἀπ. 217 ἐκδ. Göttl.). Πρβ. Hor. carm. I 28, 30 neglegis immeritis nocituram postmodo te natis fraudem committere? Forsit debita iura vicesque superbae te maneant ipsum.

445 κέ. *φράσαι*] ἀποβλέπει εἰς τὸ *φρόντισον* (423). Θὲς ἐν νῷ τούτους τοὺς δικαίους θεσμοὺς παρὰ τοῦ Διός. — *κράτη*: πρβ. Σοφ. Ἀντ. 60 ἢ νόμων

α Διόθεν κράτη.

ΒΑΣΙΛΕΥΣ.

καὶ δὴ πέφρασμαι. δεῦρο δ' ἐξοκέλλεται·
ἢ τοῖσιν ἢ τοῖς πόλεμον ἄρασθαι μέγαν
πᾶσ' ἔστ' ἀνάγκη, καὶ γεγόμφωται σκάφος
στρέβλαισι ναυτικαῖσι προσπεπηγμένον.

βίᾳ ψῆφον τυράννων ἢ κράτη παρέξιμεν, Εὐρ. 'Ρῆσ. 132 σφαλερὰ δ' οὐ φιλῶ στρατηγῶν κράτη.

447. 'Ασχάλλων καὶ δυσανασχετῶν ἀποκρίνεται ὁ βασιλεύς: Καὶ δὴ ἔσκεμμαι. Κλυδωνιζόμενον τὸ ἐμὸν σκάφος καὶ ἐξοκέλλον προσαράσσει εἰς σκοπέλους ἤτοι τὸ ἀποτέλεσμα τῶν μακρῶν σκέψεών μου εἶναι ἡ βεβαιότης μεγίστης δυστυχίας. Ἄνευ λύπης καὶ ἐνοχλήσεως οὐδεμία ὑπάρχει ἀπαλλαγὴ καὶ διέξοδος. Λίαν ἐπιθυμῶ νὰ ἐξηλεγχόμην πλανώμενος περὶ τὴν ἐκτίμησιν τῆς ἔριδος ταύτης. 'Αποβαίη τὸ πρᾶγμα καλῶς παρὰ τὴν ἐμὴν γνώμην.— *δεῦρο ἐξοκέλλεται*: ἑρμηνεύει ὁ Σχολ. «οὕτως ἀποβαίνει». Ὁ νεώτερος Σχολ. σημειοῦται εἰς Προμ. 198 «κέλσαι κυρίως τὸ τὴν ναῦν προσορμίσαι τινὶ εὐγαλήνῳ καὶ εὐλιμένῳ τόπῳ· ἐξοκεῖλαι δὲ τὸ τὴν ναῦν ἐκβληθῆναι ὑπ' ἀνέμου ἔξω τοῦ λιμένος». Κατὰ ταῦτα ἡ ταλάντωσις τῶν σκέψεων παραβάλλεται πρὸς τὸν σάλον τοῦ πλοίου, ὅπερ κλυδωνιζόμενον καταποντίζεται. Ἐξερχόμενος τῆς ἀμφιβολίας, λέγει ὁ βασιλεύς, οὐδὲν ἕτερον βλέπω ἢ κίνδυνον καὶ καταστροφήν. Πρβ. 'Ομ. 'Ιλ. 14, 16 ὡς δ' ὅτε πορφύρῃ πέλαγος μέγα κύματι κωφῷ, ὀσσόμενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα αὔτως, οὐδ' ἄρα τε (ἀναγν. τῇ) προκυλίνδεται οὐδ' ἑτέρωσε, πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸς οὖρον, ὣς ὁ γέρων ὥρμαινε δαϊζόμενος κατὰ θυμόν, Εὐρ. Τρῳ. 136 ἐμὲ . . ἐς τάνδ' ἐξώκειλ' ἄταν καὶ 'Ισοκρ. 7 § 18 πῶς δ' οὐ χρὴ δεδιέναι μὴ . . τελευτῶντες εἰς τραχύτερα πράγματα τῶν γενομένων ἐξοκείλωμεν; — *δεῦρο*: πρβ. Εὐμ. 485 ἐπεὶ δὲ πρᾶγμα δεῦρ' ἐπέσκηψεν τόδε.

448. *ἢ τοῖσιν ἢ τοῖς*] Ἔπιθι σημ. εἰς Προμ. 250. Σχολ. «ἢ τοῖς θεοῖς ἢ τοῖς Αἰγυπτιάδαις». Πρβ. 481 κέ.

449 κέ. *καὶ γεγόμφωται . . προσπεπηγμένον*] 'Αντὶ τῆς ἐννοίας: ἴσθι τοῦτο ἔμπεδον, ἤτοι τοῦτο εἶναι ἀναμφισβήτητον, γίνεται ἐν Αἰσχυλείῳ τρόπῳ ἄνευ τινὸς προσθήκης χρῆσις τῆς εἰκόνος: γεγόμφωται τὸ σκάφος συνεσφιγμένον ἐν ναυτικαῖς στρέβλαις (κοχλίαις, τροχιλίοις) ἤτοι ἡ γνώμη μου αὕτη εἶναι οὕτω στερεὰ καὶ ἀμετάτρεπτος, ὥσπερ τὸ γεγομφωμένον σκάφος. Πρβ. 955 τῶνδ' ἐφήλωται τορῶς γόμφος διαμπάξ, ὡς μένειν ἀραρότως, Πίνδ. Πυθ. 4, 71 τίς δὲ κίνδυνος κρατεροῖς ἀδάμαντος δῆσεν ἅλοις; Ἐν ὁμοίᾳ μεταφορᾷ λέγεται καὶ λατινιστὶ aliquid clavo trabali figere, παρὰ δὲ 'Ορατίῳ ἀναγινώσκεται carm. I 35, 17 saeva Necessitas clavos trabales et cuneos manu gestans aëna. — Κατὰ τὸν 'Ησύχ. «στρέβλαι ναυτικαί· τὰ ξύλα τῶν νεῶν ἐν οἷς διασφηνοῦνται (ἀνασφηνοῦνται ὁ Weil) γομφούμενα» (γομφούμεναι ὁ Stanley), ἥτις ἑρμηνεία ἀποβλέπει εἰς τὸ προκείμενον χωρίον, ὀφείλει τις νὰ ἐννοήσῃ ἐν τῷ *στρέβλαι ναυτικαὶ* οὐχὶ σφῆνας, ἀλλὰ τὰ λεγόμενα τροχίλια καὶ τοὺς κοχλίας (πάγας), δι' ὧν αἱ σανίδες τῆς τοῦ πλοίου τρόπεως προσπηγνύμεναι καὶ συσφιγγόμεναι διὰ κάλων ἀλλήλαις ἐγομφοῦντο ὕστερον ἐν ἥλοις. Πρβ. 'Απολλ. 'Ρ. 1, 367 νῆα δ' ἐπικρατέως Ἄργου ὑποθημοσύνῃσιν ἔζωσαν πάμπρωτον ἐϋστρεφεῖ ἔνδοθεν

ἄνευ δὲ λύπης οὐδαμοῦ καταστροφή,
ἢ κάρτα νείκους τοῦδ' ἐγὼ παροίχομαι·
θέλω δ' ἄϊδρις μᾶλλον ἢ σοφὸς κακῶν
εἶναι· γένοιτο δ' εὖ παρὰ γνώμην ἐμήν.

ΧΟΡΟΣ.

πολλῶν ἄκουσον τέρματ' αἰδοίων λόγων.

ΒΑΣΙΛΕΥΣ.

ἀκουστά, καὶ λέγοις ἄν· οὔ με φεύξεται.

ΧΟΡΟΣ.

ἔχω στρόφους ζώνας τε, συλλαβὰς πέπλων.

ὅπλῳ τεινάμενοι ἑκάτερθεν, ἵν' εὖ ἀραροίατο γόμφοις δούρατα κτλ.

451 κἑ. Ἄνευ δὲ λύπης καὶ συμφορᾶς οὐδαμοῦ βλέπω ἀπαλλαγὴν καὶ εὐτυχῆ ἀπόβασιν ἢ ἀποπλανῶμαι καὶ ἁμαρτάνω τῆς φύσεως τῆς φιλονεικίας ταύτης. — *καταστροφή*: ἀπαλλαγή, σωτηρία. Πρβ. κατωτέρω 480 κοὐδαμοῦ λιμὴν κακῶν. Περὶ τῆς τοῦ βίου ἀπαλλαγῆς καὶ τοῦ θανάτου κεῖται ἡ λέξις Σοφ. Ο. ἐ. Κ. 109 δότε βίου πέρασιν καὶ καταστροφήν τινα, Θουκ. 2, 42 δοκεῖ δέ μοι δηλοῦν ἀνδρὸς ἀρετὴν πρώτη τε μηνύουσα καὶ τελευταία βεβαιοῦσα ἡ νῦν τῶνδε καταστροφή, Πολυβ. 5, 54 τὴν αὐτὴν ἐποιήσαντο τοῦ βίου καταστροφήν.— *νείκους τοῦδε*: ὅπερ ἄρτι (στίχ. 448) εἶπεν πόλεμον μέγαν.— *παροίχομαι*: συντασσόμενον ὡς τὸ ἁμαρτάνειν, παραπλάζεσθαι, παραπίπτειν, γενικῇ σημαίνει οὐκ ὀρθῶς γινώσκω, οὐκ ὀρθῶς κρίνω τὴν φιλονεικίαν ταύτην, λέληθέ με ἡ φύσις τοῦ νείκους τούτου. Πρβ Εὐρ. Μηδ. 995 δύστανε μοίρας ὅσον παροίχῃ (πόσον σφάλλεσαι τῆς κρίσεως περὶ τούτου, ὅπερ προώρισέ σοι ἡ μοῖρα).— Θέλω δὲ νὰ ὦ ἀδαὴς μᾶλλον (Σχολ. «μάντις ἀποβαίην φαῦλος») ἢ εἰδήμων καὶ ὀξὺς τῶν κακῶν μάντις. — *σοφὸς κακῶν*: ἕνεκα τῆς ἐπ' αὐτὸ ῥοπῆς τοῦ *ἄιδρις* συντάσσεται τὸ *σοφὸς* γενικῇ.— Ἀποβαίη δὲ τὸ πρᾶγμα καλῶς παρὰ τὴν ἐμὴν γνώμην καὶ τὸν φόβον.

464. *τέρματ' αἰδοίων* (ἔπιθι σημ. εἰς 200) *λόγων*] πολλῶν ἱκετηρίων λόγων ἄκουσον τὸ τέλος ἤτοι μετὰ πολλοὺς λόγους, οὓς ἱκετεύουσά σε εἶπον, οὗτος εἶναι ὁ τελευταῖος.

465. *ἀκουστά*] Πρβ. Anecd. Bekk. σελ. 373, 6 «ἀκουστά· ὡς <Σοφοκλῆς> ἐν τῇ Κρεούσῃ 'ἄπελθ' ἄπελθε, παῖ· τάδ' οὐκ ἀκουστά' καὶ Εὐριπίδης δὲ πολλάκις· ὁ μέντοι Σοφοκλῆς <καὶ> ἀκούσιμα φησί· πολιτικώτερον δὲ λέγει ὁ Φρύνιχος τὸ ἀκουστὰ μᾶλλον ἢ τὸ ἀκούσιμα».— *λέγοις ἄν*: ἔπιθι σημ. εἰς 326.— *οὔ με φεύξεται*: τὰ ῥηθησόμενα.

466. *στρόφους ζώνας τε*] Κατὰ Σχολ. «τὰς στροφὰς τῶν ζωνῶν» καὶ Ἡσύχ. «ζώνας τε συλλαβὰς πέπλων· ἀντὶ τοῦ αἷς (τοῦτο τὸ *αἷς* ἀναφέρεται εἰς ἀναπληρωτέον «τὰς στροφάς») ζώννυμαι καὶ τοὺς πέπλους συλλαμβάνω» ὤφειλέ τις νὰ ἐκλάβῃ τὴν ῥῆσιν «στρόφους ζώνας τε» κατὰ τὸ σχῆμα ἓν διὰ δυοῖν. Ἀλλ' ἐν τῷ *στρόφος* ἐννοητέον τὸν στηθόδεσμον τῶν γυναικῶν. Πρβ. Nonius p. 538, 7 strophium est fascia brevis quae virginalem tumorem cohibet papillarum, Catull. 64, 65 tereti strophio lactentes vincta papillas καὶ σημ. εἰς Ἑ. ἐ. Θ. 857. Ἐν Σοφ. Ἀντ. ἀναρτᾷ ἑαυτὴν ἡ Ἀντιγόνη ἐκ τοῦ ἑαυτῆς κρηδέμνου 1221: τὴν μὲν κρεμαστὴν αὐχένος κατείδομεν, βρόχῳ μι-

ΒΑΣΙΛΕΥΣ.

τάχ' ἂν γυναιξὶν ταῦτα συμπρεπῆ πέλοι.

ΧΟΡΟΣ.

ἐκ τῶνδε τοίνυν, ἴσθι, μηχανὴ καλή.

ΒΑΣΙΛΕΥΣ.

λέξον τίν' αὐδὴν τήνδε γηρυθεῖσ' ἔσῃ.

ΧΟΡΟΣ.

εἰ μή τι πιστὸν τῷδ' ὑποστήσεις στόλῳ,

ΒΑΣΙΛΕΥΣ.

τί σοι περαίνει μηχανὴ συζωμάτων;

ΧΟΡΟΣ.

νέοις πίναξιν βρέτεα κοσμῆσαι τάδε.

ΒΑΣΙΛΕΥΣ.

αἰνιγματῶδες τοὔπος· ἀλλ' ἁπλῶς φράσον.

τώδει σινδόνος καθημμένην.— *συλλαβὰς πέπλων*: ἀναφέρεται μᾶλλον εἰς τὸ *ζώνας*, τὰς συλλαμβανούσας καὶ ὑποβασταζούσας τοὺς πέπλους.

467. Ὄντως ἁρμόζουσι τὰ κοσμήματα ταῦτα ταῖς γυναιξὶν ἤτοι οὐδαμῶς ἐκπλήσσομαι ἀκούων ὅτι ἔχετε ταῦτα.

468. Ὁ εἰρωνικὸς λόγος ἐνταῦθα καὶ στίχῳ 472 συνᾴδει τῇ μὴ γυναικείᾳ φύσει τῶν Δαναΐδων: Γίνωσκε ὅτι ἐκ τούτων δύναται νὰ παρασκευασθῇ καλὴ μηχανή.

469. Λέξον τί σημαίνει οὗτος ὁ λόγος, ὃν ἐρεῖς ἤτοι τί θέλεις νὰ εἴπῃς διὰ τοῦ λόγου τούτου; — *γηρυθεῖσα*: τύπος ἀορίστου, μὴ ἀπαντῶν ἀλλαχοῦ, ἀπὸ τοῦ *γηρύομαι*. Συνηθέστερον θὰ ἦτο τὸ *γηρύσασα*, καθὰ εἴκασεν ὁ Meineke. Πρὸς τὴν περίφρασιν πρβ. Σοφ. Ο. ἐ. Κ. 816 λυπηθεὶς ἔσῃ, Ἀντ. 1067 ἀντιδοὺς ἔσῃ, Ο. Τ. 1144 οὐ σιωπήσας ἔσῃ;

470. Εἰ μὴ ὑποβάλῃς πιστόν τι τῷδε τῷ ὁμίλῳ (ἡμῖν) ἤτοι εἰ μὴ ὑπόσχῃ ἡμῖν βέβαιόν τι, ἐξ οὗ δυνάμεθα νὰ ἀναθαρρήσωμεν. — *πιστόν*: ὡς fides ἐν τῇ ῥήσει fidem interponere. — *ὑποστήσεις*: πρβ. Σοφ. Αἴ. 1091 γνώμας ὑποστήσας σοφάς, Εὐρ. Ἠλ. 983 ἀλλ' ἦ τὸν αὐτὸν τῇδ' ὑποστήσω δόλον;

471 κἑ. Ἡ ἀπόδοσις τοῦ *εἰ μὴ . . ὑποστήσεις στόλῳ* παρέχεται διὰ τῆς ἐρωτήσεως *τί . . περαίνει*, διότι τὸ *κοσμῆσαι* ἤρτηται ἐκ τοῦ *τί περαίνει*. Ὁ συνήθης εἱρμὸς τῆς ἐννοίας θὰ ἀπῄτει *κοσμήσω* (καθὰ εἴκασεν ὁ Burges). Πρὸς τὸ *τί περαίνει* (τί ἄγει εἰς πέρας, τίνα σκοπὸν πληροῖ) πρβ. Θουκ. 6, 86 οὐδὲν ἔτι περανεῖ παραγενόμενον ὑμῖν.— Σχολ. «καινοῖς ἀναθήμασι τὰ ἀγάλματα τῶν θεῶν κοσμήσω. Λέγει δὲ ὅτι μετεωρήσω ἐμαυτὴν τῇ ἀγχόνῃ». Ἀπειλοῦσιν ὅτι θὰ κοσμήσωσι τὰ τῶν θεῶν ἀγάλματα λίαν ἀσυνήθεσιν ἀναθηματικοῖς πίναξιν. Πρβ. Στράβ. 14 σελ. 637 νεὼς μέγας, ὃς νῦν πινακοθήκη ἐστί· χωρὶς δὲ τοῦ πλήθους τῶν ἐνταῦθα κειμένων πινάκων ἄλλαι πινακοθῆκαι καὶ ναΐσκοι τινές εἰσι πλήρεις τῶν ἀρχαίων τεχνῶν.

473. Πρβ. Προμ. 637 οὐκ ἐμπλέ-

ΧΟΡΟΣ.

ἐκ τῶνδ' ὅπως τάχιστ' ἀπάγξασθαι θεῶν.

ΒΑΣΙΛΕΥΣ.

ἤκουσα μαστικτῆρα καρδίας λόγον.

ΧΟΡΟΣ.

ξυνῆκας· ὠμμάτωσα γὰρ σαφέστερον.

ΒΑΣΙΛΕΥΣ.

καὶ [μὴν] πολλαχῇ γε δυσπάλαιστα πράγματα·
κακῶν δὲ πλῆθος ποταμὸς ὣς ἐπέρχεται·
ἄτης δ' ἄβυσσον πέλαγος οὐ μάλ' εὔπορον
τόδ' ἐσβέβηκα, κοὐδαμοῦ λιμὴν κακῶν.

κων αἰνίγματ', ἀλλ ἁπλῷ λόγῳ, Ἀναξίλα ἀπόσπ. 270, 23 (τόμ. 2 Kock) αἳ λαλοῦσ' ἁπλῶς μὲν οὐδέν, ἀλλ' ἐν αἰνιγμοῖς τισιν, Ἀθήν. 1, 10 σελ. 449 E παίζειν σὺ χαίρεις μ' αἰνίγμασι· καὶ μὴν ἁπλᾶ γε καὶ σαφῆ λέγω μαθεῖν.

474. *ἀπάγξασθαι*] κείμενον κατὰ παράθεσιν πρὸς τὸ *κοσμῆσαι* ἤρτηται ἐκ τοῦ *περαίνει*. — *ὅπως τάχιστα*: ὡς τάχιστα. — Διὰ τὴν ἔλλειψιν τῆς συνήθους τομῆς προσλαμβάνει ὁ στίχος συνῳδὰ τῷ περιεχομένῳ βρῖθός τι καὶ ἔμφασιν. Πρβ. σημ. εἰς 406. Ἀλλ' ὅμως ὁ στίχος οὗτος διαφέρει τοῦ 406 κατὰ τοῦτο, ὅτι ἔχει τὴν ἔκθλιψιν ἐν τῷ μέσῳ, δι' ἣν τὸ *τάχιστ' ἀπάγξασθαι* συνδέεται εἰς μίαν λέξιν.

475. *μαστικτῆρα καρδίας*] Σχολ. «ἤκουσα λόγον καρδίας δηκτικόν». Ἡ ἑρμηνεία αὕτη εἶναι λίαν ἀσθενής. Πρβ. Εὐμ. 159 πάρεστι μαστίκτορος δαΐου δαμίου βαρὺ τὸ περίβαρυ κρύος ἔχειν.

476. Αἱ λέξεις *ξυνῆκας* . . *σαφέστερον* λέγονται μετά τινος πικρότητος. — *ὠμμάτωσα*: Πρβ. Προμ. 515 ἐξωμμάτωσα καὶ Σχολ. «ἐξελάμπρυνα».

477. *δυσπάλαιστα*] Σχολ. «δυσμεταχείριστα». — Σχολ. «ἀπὸ κοινοῦ τὸ ἤκουσα». Ἡ ἐκδοχὴ αὕτη φαίνεται ὀρθοτέρα ἢ ἡ ἑρμηνεία: καὶ πολλαχῇ γε δυσπάλαιστά ἐστι, διότι τὸ *πράγματα* κεῖται ἐν ἀντιθέσει πρὸς τὸ *λόγον*. Ἀλλ' ὅμως ἐρωτᾶται, ἐὰν διὰ τῆς ἁπλῆς ἐξαλείψεως τοῦ *μὴν* ἀποκαθίσταται τὸ ἀρχέγονον κείμενον. Ἠδύνατό τις νὰ εἰκάσῃ: *κοὐ τῇ μέν, ᾗ δ' οὐ δυσπάλαιστα πράγματα*. Πρβ. σημ. εἰς Πέρσ. 804 συμβαίνει γὰρ οὐ τὰ μέν, τὰ δ' οὔ, περὶ δὲ τοῦ *ᾗ δ' οὐ* Φωκυλ. ἀπόσπ. 1 Λέριοι κακοί, οὐχ ὃ μέν, ὃς δ' οὔ, πάντες.

478 κἑ. *κακῶν πλῆθος ποταμὸς ὣς . . ἄτης ἄβυσσον πέλαγος*] ἔπιθι σημ. εἰς Προμ. 772 δυσχείμερόν γε πέλαγος ἀτηρᾶς δύης. — *οὐ μάλ' εὔπορον*: ἀπορώτατον, ἀδιάβατον. Πρβ. οὐ μάλ' ἐς μακρὰν 936. — Ὁ Bothe ἀπέφηνε τὸν στίχον 478 νόθον. Ἀλλ' ἡ ἐπισώρευσις παραβολῶν δὲν εἶναι ἀλλοτρία τοῦ Αἰσχυλείου ὕφους. Πρβ. καὶ Ἀγ. 816 κἑ., 887 κἑ.

480. *ἐσβέβηκα*] = ἐσπέπλευκα. — *λιμὴν* (= καταφυγή) *κακῶν*: ὡς ὕπνον . . τὸν καμάτων λιμένα Κριτί. ἀποσπ. 2, 25 (Bergk), λιμὴν ἀτυχίας ἐστὶν ἀνθρώποις τέχνη Μενάνδρ. Μον. 303. Πρβ. Σοφ. Ο. Τ. 1199 θανάτων πύργος, Φιλ. 1039 κέντρον ἐμοῦ.

SLUB Wir führen Wissen.
UNIVERSITÄT LEIPZIG

εἰ μὲν γὰρ ὑμῖν μὴ τόδ' ἐκπράξω χρέος,
μίασμ' ἔλεξας οὐχ ὑπερτοξεύσιμον·
εἰ δ' αὖθ' ὁμαίμοις παισὶν Αἰγύπτου σέθεν
σταθεὶς πρὸ τειχέων διὰ μάχης ἥξω τέλους,
πῶς οὐχὶ τἀνάλωμα γίγνεται πικρόν,
ἄνδρας γυναικῶν εἵνεχ' αἱμάξαι πέδον; 486
καὶ χρημάτων μὲν ἐκ δόμων πορθουμένων, 452
[ἄτην γεμίζων καὶ μέγ' ἐμπλήσας γόμου]
γένοιτ' ἂν ἄλλα κτησίου Διὸς χάριν·

481. *χρέος*] Πρβ. Ἡσύχ. «χρέως· χρέος, ὄφλημα», Σοφ. Ο. Τ. 155 ἀμφὶ σοὶ ἁζόμενος, τί μοι . . ἐξανύσεις χρέος, Ο. ἐ. Κ. 234 μή τι πέρα χρέος ἐμᾷ πόλει προσάψῃς. Διὰ τούτων ἀναγνωρίζει ὁ βασιλεὺς τὴν ὑπεράσπισιν τῶν ἱκετίδων ὡς ὀφειλήν.

382. *μίασμα*] Ἐὰν ἀπήγχοντο ἐκ τῶν ἀγαλμάτων τῶν θεῶν. Πρβ. σημ. εἰς 380. — *οὐχ ὑπερτοξεύσιμον*: Σχολ. «ἀνυπέρβλητον». Πρβ Χο. 1030 οὐκ ἐρῶ τὴν ζημίαν· τόξῳ γὰρ οὔτις πημάτων προσίξεται, ἔνθα ὁ Σχολ. σημειοῦται «τοσαύτη γάρ ἐστιν ὡς μηδὲ τοξότην ἐφικέσθαι τοῦ μήκους».

483. *ὁμαίμοις σέθεν*] ὡς Εὐμ. 608 ὅμαιμος φωτός.

484. *διὰ μάχης τέλους ἥξω*] ὡς διὰ μάχης ἐλθεῖν τινι. Πρβ. σημ. εἰς Προμ. 122, Χο. 873 μάχης . . κεκύρωται τέλος, Ἑ. ἐ. Θ. 148 παῖ Διὸς ὅθεν πολεμόκραντον ἁγνὸν τέλος ἐν μάχᾳ (περὶ τῆς κρίσεως τῆς μάχης).

485. *ἀνάλωμα*] Σχολ. «τὸ πτῶμα τῶν σωμάτων».

486. Πρβ. Εὐρ. Ἡρακλείδ. 165 κακὸν λόγον κτήσῃ πρὸς ἀστῶν, εἰ γέροντος εἵνεκα . . εἰς ἄντλον ἐμβήσῃ πόδα.

452. Καὶ ἐπειδὴ ἡ ἀπώλεια χρημάτων καὶ ἀγαθῶν ἀντικαθίσταται, πικρὸς δὲ λόγος ἐξιλεοῦται, ἀλλ' ὅμως τὸ χυθὲν αἷμα οὐδέποτε δύναται νὰ ἐξαγνισθῇ, διὰ ταῦτα ὀφείλει τις παντὶ σθένει νὰ ἀποφύγῃ τὴν χύσιν συγγενοῦς αἵματος. Ἡ ἰδέα, καθ' ἣν πᾶσα ἑτέρα βλάβη εἶναι δεκτικὴ ἐπανορθώσεως, οὐχὶ δὲ τὸ χυθὲν αἷμα, ἀπαντᾷ συχνὴ παρ' Αἰσχύλῳ, οἷον Ἀγ. 990 κέ., Χο. 59 κέ., 518 κέ., Εὐμ. 648 κέ., Ἑ. ἐ. Θ. 667, 724. Ἐν τῷ χωρίῳ τοῦ Ἀγαμέμνονος ἡ ἔκθεσις τῆς ἰδέας εἶναι ὁμοία: Θάλλουσα ὑγίεια μεταπίπτει αἴφνης εἰς ἀσθένειαν· ἀλλ' ὅμως θεραπεία εἶναι δυνατή. Καὶ ἡ εὐτυχία ἀνδρὸς πλησίστιος φερομένη καταποντίζεται ἐν ἀφανεῖ ὑφάλῳ. Πλούσιος θερισμὸς φυγαδεύει τὴν σιτοδείαν. Ἀλλ' ὅμως τὸ ἅπαξ ἐπὶ γῆν πεσὸν αἷμα ἀνδρὸς οὐδεμία ἐπῳδὴ δύναται νὰ ἐξαγνίσῃ καὶ ἀνακαλέσῃ. Πρβ. καὶ Εὐρ. Ἱκ. 775 τοῦτο γὰρ μόνον βροτοῖς οὐκ ἔστι τἀνάλωμ' ἀναλωθὲν λαβεῖν, ψυχὴν βροτείαν· χρημάτων δ' εἰσὶν πόροι. — Πρὸς τὸ *ἐκ δόμων πορθουμένων* πρβ. Πέρσ. 453 ἐκ νεῶν φθαρέντες, Εὐρ. ἀποσπ. 736, 6 ὅταν τις ἐκ δόμων ἀνὴρ θάνῃ, Ἀθήν. σελ. 523 Β πορθεῖν ἐκ τῶν ἱερῶν τὰ τῶν θεῶν ἀγάλματα.

453. Ὁ στίχος ὢν καθ' ἑαυτὸν εὐνόητος: φθορὰν (εἰς τὸ πλοῖον) γεμίζων καὶ μεγάλως πληρῶν τοῦ φορτίου, ὀφείλει νὰ ὑποληφθῇ ὡς νόθος, διότι δὲν εὐαρμοστεῖ τῇ συντάξει τῆς προτάσεως.

454. *Ζεὺς κτήσιος*] ᾧτινι ἦν ἱερὸς ὁ τοῦ οἴκου βωμός, εἶναι ὁ φυλάσσων καὶ αὐξάνων τὴν οὐσίαν. Πρβ. Ἀγ. 1022 πολλῶν μετὰ δούλων σταθεῖσαν κτησίου Διὸς πέλας.

SLUB
Wir führen Wissen.
UNIVERSITÄT LEIPZIG

καὶ γλῶσσα τοξεύσασα μὴ τὰ καίρια,
γένοιτο μύθου μῦθος ἂν θελκτήριος,
[ἀλγεινὰ θυμοῦ κάρτα κινητήρια].
ὅπως δ' ὅμαιμον αἷμα μὴ γενήσεται,
δεῖ κάρτα θύειν καὶ πεσεῖν χρηστήρια
θεοῖσι πολλοῖς πολλά, πημονῆς ἄκη.
ὅμως δ' ἀνάγκη Ζηνὸς αἰδεῖσθαι κότον 487
ἱκτῆρος· ὕψιστος γὰρ ἐν βροτοῖς φόβος·
σοῦ νυν, πάτερ γεραιὲ τῶνδε παρθένων,

455κέ. *τοξεύσασα μὴ τὰ καίρια*] ἐὰν ἀνιαροὺς λόγους δίκην βελῶν ἐναντίον ἑτέρου εἴπῃ. Πρβ. Ἀδέσπ. ἀπόσπ. 529 (Nauck): γλώσσῃ ματαίους ἐξακοντίζειν λόγους καὶ Ὁμ. Ἰλ. 2, 275, ἔνθα ὁ Θερσίτης καλεῖται *λωβητὴρ ἐπεσβόλος*, διότι κατὰ τὸν Εὐστάθιον «ἔπεσιν ὡς βέλεσι βάλλει». — Ἀντὶ τοῦ *γλῶσσα θέλξειεν ἂν μῦθον μύθῳ* κεῖται ἐντονωτέρα σύνταξις κατὰ ὀνομαστικὴν ἀπόλυτον (Σχολ. «ἀντὶ τοῦ γλώσσης τοξευσάσης, ὅ ἐστιν εἰπούσης»), ὡς Χο. 518 τὰ πάντα γάρ τις ἐκχέας ἀνθ' αἵματος ἑνός, μάτην ὁ μόχθος, Ἑ. ἐ. Θ. 668 ἀνδροῖν δ' ὁμαίμοιν θάνατος ὧδ' αὐτοκτόνος, οὐκ ἔστι γῆρας τοῦδε τοῦ μιάσματος. Πρβ. σημ. εἰς 770 κέ.— Λόγος προσηνὴς ἐξευμενίζει τοὺς ἀνιαροὺς λόγους. Πρβ. Εὐμ. 81 θελκτηρίους μύθους ἔχοντες.

457. Ὁ στίχος ἀναπτύσσων τὴν ἔννοιαν τοῦ *μὴ τὰ καίρια* (= ἀτόπους λόγους, οἵτινες ἀνιῶσι καὶ σφόδρα τὴν καρδίαν ἐρεθίζουσιν) ὤφειλε νὰ ἔκειτο πρὸ τοῦ 456, ἐὰν ἦν γνήσιος. Ἀλλ' ὅμως ὁ στίχος οὗτος ὀφείλει νὰ ἀποβληθῇ μετὰ τὴν ἀποβολὴν τοῦ στίχ. 453, διότι, τοῦ Αἰσχύλου ἀσμενίζοντος τῇ συμμετρίᾳ, εἶναι πιθανόν, ὅτι αἱ τὴν ἀντίθεσιν ἀποτελοῦσαι δύο ἔννοιαι ἐξεφράσθησαν ἐπίσης ἐν δυσὶ στίχοις.

458. Αἱ ἔννοιαι: χυθὲν αἷμα ὅμως δὲν ἀντικαθίσταται· ὅθεν παντὶ σθένει ὀφείλει τις νὰ ἀποφύγῃ τὴν χύσιν αἵματος καὶ δὴ συγγενικοῦ, συμπτύσσονται συντόμως. Ἐπειδὴ οἱ υἱοὶ τοῦ Αἰγύπτου καὶ αἱ θυγατέρες τοῦ Δαναοῦ εἶναι συγγενεῖς τῶν Ἀργείων, ἐν πολέμῳ ἀμφοτέρων χυθήσεται *αἷμα ἐμφύλιον*. Ἡ ἑρμηνεία τοῦ *ὅμαιμον αἷμα* ἐξάγεται ἐκ στίχ. 483.— *ὅπως μὴ . . γενήσεται*: Τὸ *ὅπως μὴ* μετὰ μέλλοντος ὁριστικῆς σημαίνει τὸν σκοπόν. Πρβ. Πλάτ. Συμπ. 193, Ἰσοκρ. 15, 119 καὶ Κρυγήρου Γραμμ. Α' § 67, 5.

459 κέ. *θύειν καὶ πεσεῖν χρηστήρια*] ὡς Ἑ. ἐ. Θ. 216 σφάγια καὶ χρηστήρια θεοῖσιν ἔρδειν. Ἐνταῦθα εἴρηται τὸ μὲν *θύειν* γενικῶς περὶ θυσιῶν, τὸ δὲ *πεσεῖν χρηστήρια* περὶ τῶν ἱερείων καὶ σφαγίων.— *πημονῆς ἄκη*: Σχολ. «τῆς προσδοκωμένης πημονῆς ἄκη» κείμενον ἐν παραθέσει πρὸς τὸ *χρηστήρια* ἐκφράζει τὸ ἀποτέλεσμα τῶν ἱερείων καὶ τῶν θυσιῶν ἤτοι τὴν ἀποτροπὴν τοῦ κακοῦ.

488. *ἱκτῆρος*] Πρβ. σημ. εἰς 1. — *ὕψιστος . . φόβος*: Σχολ. «ὁ τούτου φόβος μέγας ἐστὶν ἐν βροτοῖς». Πρβ. 349, 390. Ἠδύνατό τις νὰ εἰκάσῃ *ὕψιστον . . σέβας*. — *ὕψιστος*: μέγιστος.

489. *σοῦ*] πληθυντικῶς σοῦσθε Ἑ. ἐ. Θ. 31. Πρβ. Ἡσύχ. «σοῦ ἴθι, τρέχε, ὅρμα», Ἀριστοφ. Σφηξ. 209 σοῦ, σοῦ, πάλιν σοῦ καὶ σημ. εἰς τὸ παρατεθὲν χωρίον τῶν Ἑ. ἐ. Θ.

κλάδους τε τούτους αἶψ' ἐν ἀγκάλαις λαβὼν
βωμοὺς ἐπ' ἄλλους δαιμόνων ἐγχωρίων
θές, ὡς ἴδωσι τῆσδ' ἀφίξεως τέκμαρ
πάντες πολῖται, μηδ' ἀπορριφθῇ λόγος
ἐμοῦ· κατ' ἀρχῆς γὰρ φιλαίτιος λεώς.
καὶ γὰρ τάχ' ἄν τις οἰκτίσας ἰδὼν τάδε
ὕβριν μὲν ἐχθήρειεν ἄρσενος στόλου,
ὑμῖν δ' ἂν εἴη δῆμος εὐμενέστερος·
τοῖς ἥσσοσιν γὰρ πᾶς τις εὐνοίας φέρει.

ΠΡΕΣΒΥΤΗΣ

πολλῶν τάδ' ἡμῖν ἐστιν ἠξιωμένα,
αἰδοῖον εὐθενοῦντα πρόξενον λαβεῖν.
ὀπάονας δὲ φράστοράς τ' ἐγχωρίων
ξύμπεμψον, ὡς ἂν τῶν πολισσούχων θεῶν

490. Ὡς ἐμφαίνει ὁ στίχ. 515, ὁ Δαναὸς προτρέπεται νὰ λάβῃ οὐχὶ πάντας, ἀλλὰ μόνον τοὺς ἑαυτοῦ κλάδους. — *αἶψα*: ὡς τάχος.

492. *ἀφίξεως*] ἱκεσίας. Ἔπιθι σημ. εἰς 1. — *τέκμαρ* = τεκμήριον, σύμβολον. Πρβ. 247 κἑ.

493 κἑ. *μηδ' ἀπορριφθῇ . . ἐμοῦ*] ἵνα μὴ ῥιφθῇ (τοξευθῇ) κατ' ἐμοῦ ψεκτήριος λόγος (πρβ. Εὐρ. Κύκλ. 51 ῥίψω πέτρον τάχα σου), κατ' ἀναλογίαν τοῦ τοξεύειν, στοχάζεσθαί τινος. Πρὸς τὸ *ἀπορριφθῇ* πρβ. Σοφ. Αἴ. 501 λόγοις ἰάπτων.— *κατ' ἀρχῆς φιλαίτιος λεώς*: Σχολ. «τοὺς γὰρ ἄρχοντας ἐν ταῖς τοιαύταις περιστάσεσιν εἴωθεν αἰτιᾶσθαι ὁ λαός». Πρβ. Ἑ. ἐ. Θ. 4 εἰ μὲν γὰρ εὖ πράξαιμεν, αἰτία θεοῦ· εἰ δ' αὖθ', ὃ μὴ γένοιτο, συμφορὰ τύχοι, Ἐτεοκλέης ἂν εἷς πολὺς κατὰ πτόλιν ὑμνοῖθ' ὑπ' ἀστῶν φροιμίοις παλιρρόθοις κτλ.

496. *ἄρσενος στόλου* (ὁμίλου): ὡς ἄρσενες 398.

498. *εὐνοίας*] πληθυντικῶς, ὡς Ἑ. ἐ. Θ. 437 Ἀρτέμιδος εὐνοίαισι, Ἀγ. 688 προνοίαισι τοῦ πεπρωμένου, Προμ. 331 ὀργάς, κατωτέρω 771.— Πρὸς τὴν ἔννοιαν παραβάλλει ὁ Σχολ. Σοφ. Αἴ. 157 πρὸς τὸν ἔχονθ' ὁ φθόνος ἕρπει.

499. κἑ. Πολλῶν ἄξια ὑπολαμβάνω ταῦτα, ἤτοι μεγάλην νομίζω εὐτυχίαν τὸ λαβεῖν πρόξενον κτλ.— *αἰδοῖον*: αἰδούμενον καὶ ἐλεοῦντα. Πρβ. 200, 464 καὶ σημ. εἰς 198.— *εὐθενοῦντα*: πρβ. Εὐμ. 896 ὡς μή τιν' οἶκον εὐθενεῖν ἄνευ σέθεν, Ἡσύχ. «εὐθηνῶν καὶ <εὐθενῶν>· εὐδαιμονῶν, πλουτῶν».

501 κἑ. Τῶν ἐγχωρίων δὲ πέμψον σὺν ἐμοί.— *ὀπάονας*: ὀπαδούς.— *φράστορας*: ἅπαξ εἰρημένον. Μόνον δὲ τὸ κύριον ὄνομα Φράστωρ ἀπαντᾷ ἔτι. Ὁ συνήθης τύπος εἶναι *φραστήρ*. Σχολ. «τοὺς φράσοντας», Ἡσύχ. «φραστῆρες· μηνυταί». Οἱ πεμφθησόμενοι τῶν ἐγχωρίων ὀφείλουσι νὰ ὦσι δορυφόροι (ὀπάονες) καὶ τῆς ὁδοῦ δηλωταί. Πρβ. Ξεν. Κ. Π. 5, 4, 40 ὁδῶν φραστῆρα, Πλουτ. γυν. ἀρετ. σελ. 243 Ε ἐπλανῶντο περὶ τὴν χώραν, φραστήρων δεόμενοι. — *προνάους*: πρὸ τῶν ναῶν κειμένους.

βωμοὺς προνάους καὶ [πολισσούχων] ἕδρας
εὕρωμεν, ἀσφάλεια δ' ᾖ δι' ἄστεως
στείχουσι· μορφῆς δ' οὐχ ὁμόστολος φύσις.
Νεῖλος γὰρ οὐχ ὅμοιον Ἰνάχῳ γένος
τρέφει. φύλαξαι μὴ θράσος τέκῃ φόβον.
καὶ δὴ φίλον τις ἔκταν' ἀγνοίας ὕπο.

ΒΑΣΙΛΕΥΣ.

στείχοιτ' ἄν, ἄνδρες· εὖ γὰρ ὁ ξένος λέγει.
ἡγεῖσθε βωμοὺς ἀστικούς, θεῶν ἕδρας·
καὶ ξυμβολοῦσιν οὐ πολυστομεῖν χρεὼν
ναυστῆρ' ἄγοντας τόνδ' ἐφέστιον θεῶν.

ΧΟΡΟΣ.

Τούτῳ μὲν εἶπας, καὶ τεταγμένος κίει·

503. Ὁ βιβλιογράφος πλανηθεὶς ἐκ τοῦ προηγουμένου στίχου ἔγραψε ῥεμβασμῷ διανοίας *πολισσούχων*, ὅπερ ἐξέβαλε τὴν ἀρχέγονον λέξιν. Ὅθεν εἴκασαν ἄλλοι ἄλλο, οἷον ὁ Butler *πολυλλίτους* (= πολυλιτανεύτους) ἢ *πολυστεφεῖς*, ὁ Hermann *πολυξέστους*, ὁ H. Voss *πολυχρύσους*, ὁ Paley *περιστύλους*. Ἐπειδὴ δὲ δὲν εἶναι ἐπάναγκες ἡ ἐκπεσοῦσα λέξις νὰ προσομοιάζῃ τῷ παραδεδομένῳ *πολισσούχων*, ἠδύνατό τις νὰ εἰκάσῃ *περισκέπτους*, διότι πρόκειται πάντες οἱ πολῖται νὰ ἴδωσι τοὺς κλάδους (492).

504. *ἄστεως*] εἶναι ὁ ἀττικὸς τύπος τῆς γενικῆς. Παρ' Ὁμήρῳ ἀπαντᾷ ὁ τύπος ἄστεος. Πρβ. καὶ Meisterhans, Gram. d. att. Inschr. σελ. 108².

505. *μορφῆς δ' οὐχ ὁμόστολος φύσις*] Σχολ. «οὐχ ὅμοιοι τοῖς ἐγχωρίοις ἐσμέν, ὥστε λαθεῖν». Πρὸς τὸ *ὁμόστολος* (= ὁμοία) πρβ. μονόστολος (= μόνος, ἔρημος) Εὐρ. Ἀλκ. 406 νέος ἐγώ, πάτερ, λείπομαι μονόστολος ματρὸς καὶ Φοιν. 742 λόχων ἀνάσσειν ἢ μονοστόλου δορός. Ἐνταῦθα τὸ δεύτερον τῆς λέξεως συνθετικὸν ὑπεμφαίνει τὴν στολὴν καὶ τὸ ἐξωτερικὸν σχῆμα τῶν Δαναΐδων.

506. Πρβ. 287.

507. Φυλάττου μὴ τὸ θράσος καὶ ἡ τόλμη μεταπέσῃ εἰς ἀτολμίαν καὶ φόβον ἤτοι ἡ κατάστασις, ἣν νῦν ὑπολαμβάνομεν ἀκίνδυνον καὶ ἀσφαλῆ, ἠδύνατο νὰ καταστῇ λίαν κινδυνώδης καὶ ἐπισφαλής. Ἐν τῇ ἀντιθέσει τοῦ *θράσος* πρὸς τὸ *φόβος* κεῖται χροιά τις παροιμίας.

509 κέ. Ἴτε, δορυφόροι. Πρβ. 996. —*ἡγεῖσθε βωμούς*: δείξατε αὐτοῖς τὴν εἰς τοὺς βωμοὺς ἄγουσαν ὁδόν. Πρβ. Ὁμ. Ὀδ. 7, 22 ὦ τέκος, οὐκ ἄν μοι δόμον ἀνέρος ἡγήσαιο Ἀλκινόου καὶ ῥήσεις, οἷαι Σοφ. Ἀντ. 1103 συντέμνουσι . . τοὺς κακόφρονας βλάβαι, Αἴ. 606 ἀνύσειν τὸν . . Ἅιδαν.

511. *ξυμβολοῦσιν*] Σχολ. «τοῖς συντυγχάνουσιν». Πρβ. Ἐ. ἐ. Θ. 339 ξυμβολεῖ φέρων φέροντι καὶ Ἡσύχ. «ξυμβολεῖ· συντυγχάνει».— *πολυστομεῖν* = πολυλογεῖν.

512. *ναυστῆρα*] ἱκέτην. Πρβ. Ἡσύχ. «ναυστῆρες· οἱ ἱκέται» καὶ σημ. εἰς ναύοντα 359. — *ἐφέστιον*: πρβ. σημ. εἰς 370. Ὁ Δαναὸς ἀπέρχεται μετὰ τῶν δορυφόρων.

513. *τεταγμένος κίει*: διαταχθείς, συνῳδὰ ταῖς δοθείσαις διαταγαῖς ἀπέρχεται.

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

ἐγὼ δὲ πῶς δρῶ; ποῦ θράσος νέμεις ἐμοί;

ΒΑΣΙΛΕΥΣ.

κλάδους μὲν αὐτοῦ λεῖπε, σημεῖον πόνου.

ΧΟΡΟΣ.

καὶ δή σφε λείπω χειρία λόγοις σέθεν.

ΒΑΣΙΛΕΥΣ.

λευρὸν κατ' ἄλσος νῦν ἐπιστρέφου τόδε.

ΧΟΡΟΣ.

καὶ πῶς βέβηλον ἄλσος ἂν ῥύοιτό με;

514. *δρῶ*] ἀντὶ τοῦ συνήθους *δράσω*, ὡς Ἑ. ἐ. Θ. 1049.— *ποῦ θράσος νέμεις ἐμοί*: τίνα τόπον ὑποδεικνύεις ἐμοί, ἔνθα δύναμαι νὰ ὦ ἀσφαλής; Σχόλ. «ἀντὶ ποῦ παραγενομένης μου τὸ θράσος νέμεις;». Τὸ *θράσος* κεῖται ἀντὶ τοῦ *θάρσος* τοῦ μέτρου χάριν. Πρβ. Κριτ. ἐπισημ. εἰς 966.

515. *σημεῖον πόνου*] Ὁ ἐπὶ τῶν βωμῶν λείπων τοὺς κλάδους ἐδήλου ὅτι ἡ ἱκεσία αὐτοῦ δὲν ἔτυχεν ἀποδοχῆς καὶ ἐπομένως διέκειτο ταλαιπώρως. Πρβ. Σοφ. Ο. Τ. 143 ἵστασθε, τούσδ' ἄραντες ἱκτῆρας κλάδους . . ὡς πᾶν ἐμοῦ δράσοντος καὶ 147 ὦ παῖδες, ἱστώμεσθα· τῶνδε γὰρ χάριν καὶ δεῦρ' ἔβημεν ὧν ὅδ' ἐξαγγέλλεται, Εὐρ. Ἱκ. 258 ἀλλ' ὦ γεραιαί, στείχετε γλαυκὴν χλόην αὐτοῦ λιποῦσαι φυλλάδος καταστεφῆ, θεούς τε καὶ γῆν τήν τε πυρφόρον θεὰν Δήμητρα θέμεναι μάρτυρ' ἡλίου τε φῶς, ὡς οὐδὲν ἡμῖν ἤρκεσαν λιταὶ θεῶν.

516. *καὶ δὴ*] ἰδού, προκειμένου νὰ ἐκτελέσῃ τις διαταγήν. Πρβ. Προμ. 54.— *σφέ*: αὐτούς, ὡς Ἑ. ἐ. Θ. 617, Εὐρ. Ἑκ. 260, Μηδ. 304, Βάκχ. 810. Παρ' Ὁμήρῳ ἔχει δύναμιν μόνου δυικοῦ πλὴν Ἰλ. 19, 265. Πρβ. σημ. εἰς Προμ. 9.— *χειρία . . σέθεν*: τοῖς σοῖς ῥήμασιν ὑπήκοος καὶ πειθομένη. Πρβ. Ἡσύχ. «χείριον· ὑποχείριον».

517. *λευρὸν*] Ἡσύχ. «λευρῷ· ὁμαλῷ, πλατεῖ». Ὡσαύτως Προμ. 385 λευροὺς γύας, ἔνθα ὁ Σχολ. σημειοῦται «τοὺς πλατεῖς», Εὐρ. Φοιν. 836 λευρὸν πέδον. Οὕτω τοίνυν δηλοῦται τὸ ἀναπεπταμένον πεδίον ἐν ἀντιδιαστολῇ πρὸς τὸ περιπεφραγμένον ἱερόν, ὁ δὲ χορὸς καταβαίνει εἰς τὴν ὀρχήστραν, ἔνθα ᾄδει τὸ ἑπόμενον στάσιμον. Μόνον ἡ ἀνάγκη αὕτη αἰτιολογεῖ τὴν κίνησιν ταύτην τοῦ χοροῦ, διότι τῇ δράσει θὰ συνῇδε μᾶλλον, ἐὰν διετέλει κατέχων τὸν ἀσφαλῆ τόπον παρὰ τὸν βωμὸν τῶν θεῶν.— *ἄλσος*: λειμών, πεδίον, ἄρουρα. Πρβ. Σοφ. Ἠλ. 4 τὸ παλαιὸν Ἄργος . . ἄλσος Ἰνάχου κόρης, Πέρσ. 113 πόντιον ἄλσος (Neptunia prata). Τὴν ἔννοιαν ἱεροῦ τόπου ἔχει Σοφ. Ο. ἐ. Κ. 10 ἢ πρὸς βεβήλοις ἢ πρὸς ἄλσεσιν θεῶν. Πρβ. Στράβ. 9 σελ. 412 οἱ δὲ ποιηταὶ ἄλση καλοῦσι τὰ ἱερὰ πάντα, κἂν ᾖ ψιλὰ (ἄνευ δένδρων).

518. Αἱ παρθένοι διστάζουσι τὸ πρῶτον νὰ ἀκολουθήσωσι τῇ προτροπῇ τοῦ βασιλέως, ἵνα μὴ ἡ σκηνικὴ τῆς καταβάσεως ἀνάγκη καταστῇ ὡς τοιαύτη λίαν ἐμφανής, καθὰ προσφυῶς διεῖδεν ὁ Kruse. — *βέβηλον*: Σχολ. «τὸ πᾶσι βατὸν καὶ μὴ ἱερόν», Βεκκήρου Ἀνέκδ. σελ. 323, 15 «βέβηλα ἐλέγετο τὰ μὴ ὅσια μηδ' ἱερά». Ἡ ἔμφασις τοῦ *βέβηλον* αἰτιολογεῖ τὴν ἐπανάληψιν τοῦ *ἄλσος*. Ὁ Weil εἰκάζει: *βέβηλον ἂν πέδον ῥύοιτό με*, ἀλλ' ὅμως ἔπιθι σημ. εἰς Προμ. 269.

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

ΒΑΣΙΛΕΥΣ.

οὔτοι πτερωτῶν ἁρπαγαῖς σ᾽ ἐκδώσομεν.

ΧΟΡΟΣ.

ἀλλ᾽ εἰ δρακόντων δυσφρόνων ἐχθίοσιν;

ΒΑΣΙΛΕΥΣ.

εὔφημον εἴη τοὔπος εὐφημουμένη.

ΧΟΡΟΣ.

οὔτοι τι θαῦμα δυσθροεῖν φόβῳ φρενός.

ΒΑΣΙΛΕΥΣ.

ἀεὶ γυναικῶν ἐστι δεῖμ᾽ ἐξαίσιον.

ΧΟΡΟΣ.

σὺ καὶ λέγων εὔφραινε καὶ πράσσων φρένα.

519. *πτερωτῶν*] Σχολ. «δρακόντων». Ἀλλ᾽ ἡ ἔννοια εἶναι ἥδε: Μὴ φοβοῦ· οὐδεὶς δύναται νά σε ἀπαγάγῃ διὰ τοῦ ἀέρος, ἔνθα δὲν θὰ ἠδυνάμεθα νά σε ἀποσπάσωμεν τῶν ληστῶν. Αἱ Δαναΐδες λαμβάνουσι τοὺς λόγους τοῦ βασιλέως ἐν τῇ κυρίᾳ ἐννοίᾳ εἰκάζουσαι ἐν τοῖς πτερωτοῖς τέρασι τοῦ ἀέρος δράκοντας καὶ παραβάλλοντες πρὸς αὐτοὺς τοὺς Αἰγυπτιάδας. Πρβ. 770 κέ. Συνήθως ἕπονται τῷ Schütz, ὅστις ἑρμηνεύων: οὐδέποτε ἐκδώσομέν σε ἁρπακτικοῖς ὀρνέοις, ἤτοι ἐκθήσομεν, ἐκλαμβάνει τὴν ῥῆσιν παροιμιώδη καὶ μετενεχθεῖσαν ἀπὸ τῆς ἐκθέσεως τῶν βρεφῶν, ἅτινα ἐν δάσεσι καὶ ὄρεσι ἐπετρέποντο τοῖς σπαραγμοῖς τῶν οἰωνῶν καὶ θηρίων. Οὕτω παρ᾽ Εὐριπίδῃ λέγει περὶ τοῦ υἱοῦ Ἴωνος ἡ Κρέουσα Ἴωνι 902 καὶ νῦν ἔρρει πτανοῖς ἁρπασθεὶς θοίνα παῖς μοι καὶ 917 οἰωνοῖς ἔρρει συλαθείς.

520. Ἐν τῷ *ἀλλ᾽ εἰ .. ἐχθίοσιν* (ἐκδώσεις) ὑπονοεῖται ὡς ἀπόδοσις *τότε τί γενήσεται ἢ τί ἐρεῖς.*— *ἐχθίοσιν*: τοὺς Αἰγυπτιάδας ὑπολαμβάνει ὁ χορὸς χείρους τῶν δρακόντων.

521. *εὔφημον εἴη τοὔπος* (σοι) *εὐφημουμένῃ*] εὐφήμει εὐφημουμένη ἢ fausta sit oratio fausta audienti, καθὰ ἑρμηνεύει ὁ Hermann.— *εὐφημουμένῃ*: εὔφημα ἀκουούσῃ ὑπ᾽ ἐμοῦ. Ἡ ἑρμηνεία ἐν Βεκκ. Ἀνεκδ. σελ. 77 «εὐφημεῖται· ἀκούει καλῶς» δὲν συνᾴδει τῷ προκειμένῳ χωρίῳ.

522. Οὐδαμῶς θαυμαστὸν ἐὰν φοβούμενός τις δυσφημῇ.— *δυσθροεῖν*: δυσφημεῖν. Πρβ. Ἑ. ἐ. Θ. 244 ΕΤ. παλινστομεῖς αὖ θιγγάνουσ᾽ ἀγαλμάτων; ΧΟ. ἀψυχίᾳ γὰρ γλῶσσαν ἁρπάζει φόβος.

523. *ἐξαίσιον*] Ἡσύχ. «ἐξαίσια. ὑπέρμετρα».

524. Ἡ ἔμφασις κεῖται ἐν τῷ *λέγων*, ἀποκρουομένου τοῦ ὀνείδους, ἐν τοιᾷδε ἐννοίᾳ: εὐφραίνων, τέρπων τὴν φρένα (καρδίαν) ἡμῶν ἐν χαλεπωτέρῳ πράγματι, οἷον εἶναι τὸ πράσσειν, προσφέρου ἡμῖν φιλίως καὶ ἐν λόγοις καὶ μὴ ὀνείδιζε ἡμῖν δέος. Πρβ. Εὐρ. Ὀρ. 287 τοῖς μὲν λόγοις ηὔφρανε, τοῖς δ᾽ ἔργοισιν οὔ, Ξεν. Ἀναβ. 6, 6, 18 συμπέμψατε μέντοι μοι οἵτινες καὶ λέξουσιν ὑπὲρ ἐμοῦ καὶ πράξουσιν. Ὁ *καὶ . . καὶ* σημαίνει οὐ μόνον ἐν ἔργοις, ἀλλὰ καὶ ἐν λόγοις. Ἡ ἑρμηνεία τοῦ Schütz: tu fac, ut non dicendo solum sive promittendo, sed agendo quoque

ΒΑΣΙΛΕΥΣ.

ἀλλ' οὔτι δαρὸν παῖδ' ἐρημώσει πατήρ.
ἐγὼ δὲ λαοὺς συγκαλῶν ἐγχωρίους
πατῶ, τὸ κοινὸν ὡς ἂν εὐμενὲς τιθῶ,
καὶ σὸν διδάξω πατέρα ποῖα χρὴ λέγειν.
πρὸς ταῦτα μίμνε καὶ θεοὺς ἐγχωρίους
λιταῖς παραιτοῦ τῶν σ' ἔρως ἔχει τυχεῖν.
ἐγὼ δὲ ταῦτα πορσυνῶν ἐλεύσομαι·
πειθὼ δ' ἕποιτο καὶ τύχη πρακτήριος.

ΧΟΡΟΣ.

Ἄναξ ἀνάκτων, μακάρων στροφ. α'.

animum nostrum exhilares ἢ τοῦ Weil: tu vero ut verbis, sic etiam factis me iuva διαστρέφει τὸν χαρακτῆρα τῶν Δαναΐδων.

525 κέ. *οὔτι δαρὸν . . πατὴρ*] Ὁ βασιλεὺς καταπραΰνων τὰς δειμαλέας παρθένους λέγει, ὅτι οὐχὶ μακρὸν χρόνον θὰ καταλίπῃ αὐτὰς ἐρήμους καὶ μόνας.— *ἐρημώσει*: Πρβ. Εὐρ. Ἀνδρ. 314 κεἰ μὴ τόδ' ἐκλιποῦσ' ἐρημώσεις πέδον.— *πατῶ*: χωρῶ, ἀπέρχομαι, ὡς Ἀγ. 1297 πρὸς βωμὸν εὐτόλμως πατεῖς. Πρβ. Χο. 728 ποῖ δὴ πατεῖς, Κίλισσα, δωμάτων πύλας;— *ξυγκαλῶν*: Ὁ ποιητὴς ἔχει πρὸ ὀφθαλμῶν τὴν σύγκλητον ἐκκλησίαν τῶν Ἀθηναίων (πρβ. κατωτέρω 612), εἰς ἣν ἤγοντο οἱ ἱκέται. Πρβ. Εὐρ. Ἱκέτ. 354, ἔνθα ὁ Θησεὺς λέγει: λαβὼν Ἄδραστον δεῖγμα τῶν ἐμῶν λόγων, ἐς πλῆθος εἶμι.

529. *πρὸς ταῦτα*] τούτων οὕτως ἐχόντων, ἀποβλέπουσα πρὸς ταῦτα. Ἡ ῥῆσις ἔχει ἐνταῦθα οὐχὶ τὴν ἀπότομον ἔννοιαν, ἣν Προμ. 947, 1024, 1075 καὶ ἄλλοθι πολλαχοῦ.

530. Δεήθητι τυχεῖν ὧν ἐρᾷς καὶ γλίχεσαι.— *τῶν* = ὧν. Ἔπιθι σημ. εἰς 177.— Διὰ τῆς προτροπῆς ταύτης προαγγέλλεται τὸ θέμα τοῦ ἑπομένου χορικοῦ.

531. *πορσύνειν*] ποιητικὴ λέξις (= παρασκευάζειν) ἀπαντῶσα καὶ ἐνιαχοῦ τοῦ Ἡροδότου καὶ Ξενοφῶντος.— *ἐλεύσομαι*: ἔπιθι σημ. εἰς Προμ. 880.

532. Πειθὼ δ' ἕποιτο (τοῖς ἐμοῖς λόγοις) καὶ τύχη πρόσφορος τῇ ἐκτελέσει τῶν πραγμάτων.— *τύχη πρακτήριος*: ἔπιθι σημ. εἰς 214 κέ.

533-607 *πρῶτον στάσιμον*, ᾀδόμενον ὑπὸ τοῦ εἰς τὴν ὀρχήστραν καταβάντος χοροῦ καὶ περιέχον εὐχὴν εἰς τὸν Δία: Σῶσον ἡμᾶς ἀπὸ τῆς ὕβρεως τῶν ἀνδρῶν. Ὡς ἀπόγονοι τῆς Ἰοῦς ἐπικαλούμεθά σε ὡς ἀρχηγέτην τοῦ ἡμετέρου γένους. Ἱστάμεθα πάλιν ἐπὶ τοῦ λειμῶνος, ἐξ οὗ ἐδιώχθη ἡ Ἰὼ εἰς τὸν Βόσπορον, ὃν διαβᾶσα ἦλθεν εἰς τὴν Μικρὰν Ἀσίαν, διὰ δὲ τῆς Φρυγίας, Μυσίας, Λυδίας, Παμφυλίας, Κιλικίας, Φοινίκης ἀφίκετο εἰς τὴν Αἴγυπτον πρὸς ἔκπληξιν τῶν κατοίκων, ὁρώντων ὂν τὸ ἥμισυ μὲν βοῦν, τὸ δὲ ἕτερον ἥμισυ γυναῖκα. Ἐν Αἰγύπτῳ δὲ διὰ τῆς ἐπιθέσεως τῆς χειρός σου ἀνεκτήσατο τὴν προτέραν αὐτῆς μορφὴν καὶ ἡσυχίαν καὶ ἔτεκε τὸν Ἔπαφον, τὸν ἡμέτερον γενάρχην. Ὅθεν ἀξιοῦμεν τὴν σὴν βοήθειαν, ἣν δύνασαι νὰ παράσχῃς. Τίς γάρ ἐστιν ἰσχυρότερος τοῦ Διός; Ἡ βουλὴ αὐτοῦ ἅμα λεχθεῖσα καὶ τελεῖται.

533. *ἄναξ ἀνάκτων*] Πρβ. σημ. εἰς Πέρσ. 24 βασιλῆς βασιλέως ὕποχοι μεγάλου καὶ αὐτόθι 683 πιστὰ πιστῶν.

μακάρτατε καὶ τελέων τελει-
ότατον κράτος, ὄλβιε Ζεῦ,
πιθοῦ τε καὶ γυναικῶν
ἄλευσον ἀνδρῶν ὕβριν εὖ στυγήσας·
λίμνᾳ δ' ἔμβαλε πορφυροειδεῖ
τὰν μελανόζυγ' ἄταν.

τὸ προστρόπαιον δ' ἐπιδὼν — ἀντιστρ. α'.
παλαίφατον ἁμέτερον γένος
φιλίας προγόνου γυναικὸς
νέωσον εὔφρον' αἶνον,
γενοῦ πολυμνᾶστορ, ἔφαπτορ Ἰοῦς·

534. *τελέων* (πρβ. οἱ ἐν τέλει, τὰ τέλη) *τελειότατον κράτος*] τῶν ἀρχῶν καὶ δυνάμεων τελειοτάτη (ὑψίστη) ἀρχὴ καὶ δύναμις ἤτοι ὕπατε ἄρχων καὶ κυβερνῆτα . . Ἀντὶ τοῦ *τελέων τελειότατε* κεῖται τὸ ἀφῃρημένον τελειότατον κράτος. Πρβ. καὶ σημ. εἰς Ἑ. ἐ. Θ. 111, 152, 241 παγκρατὲς Ζεῦ καὶ Εὐμ. 28 τέλειον ὕψιστον Δία.

536 κἑ. *γυναικῶν ἄλευσον ὕβριν*] ἀπότρεψον τὴν ἐπικειμένην ταῖς γυναιξὶν ὕβριν τῶν ἀνδρῶν.— *εὖ στυγήσας*: ἐπιδείξας τὸ προσῆκον τοιαύτῃ ὕβρει μῖσος. Πρβ. σημ. εἰς 80.— *εὖ*: Σχολ. «δικαίως».

538. *πορφυροειδεῖ*] ὡς Ὁμ. Ἰλ. 16, 391 ἅλα πορφυρέην. Οὕτως ὁ Εὐριπίδης καλεῖ τὴν μελανίζουσαν θάλασσαν Τρῳ. 124 ἅλα πορφυροειδέα. Σχολ. «καταπόντωσον αὐτῶν τὴν ὕβριν».

539. *τὰν μελανόζυγα ἄταν*] τὴν μέλανα ἐρετικὰ ζυγὰ ἔχουσαν βλάβην καὶ καταστροφήν. Τὸ *ἄταν* κεῖται ἀντὶ τοῦ *ναῦν*, ἥτις προξενεῖ ταῖς Δαναΐσιν ὄλεθρον καὶ καταστροφὴν οὖσα ἡ αἰτία τῶν παθημάτων αὐτῶν. Οὕτως ἐξέλαβε τὸ χωρίον καὶ ὁ Σχολ. «τὴν ναῦν, ἐν ᾗ βλαβήσονται» ἀναφέρων τὸ *μελανόζυγα* εἰς τὸ σκυθρωπὸν καὶ ὀλέθριον τῆς νεώς. Πρβ. Ἀγ. 764 μελαίνας ἄτας καὶ Ἑ. ἐ. Θ. 842 ὃς αἰὲν δι' Ἀχέροντος ἀμείβεται τὰν ναύστολον μελάγκροκον θεωρίδα. Ὁ Stanley καὶ ἕτεροι ἀναφέρουσι τὴν ῥῆσιν εἰς τοὺς ἐπὶ τῶν ναυτικῶν ἑδωλίων καθημένους μελάγχρωτας Αἰγυπτιάδας παραβάλλοντες 727 καὶ 753 καὶ ἑρμηνεύοντες pestem nigro remigio impulsam. Κατὰ τὸν Σχολ. τὸ *ἄταν* κείμενον προληπτικῶς δηλοῖ τὸ πλοῖον ὡς καταστροφὴν τῶν Δαναΐδων. Ἀλλ' ὅμως αἱ Δαναΐδες διανοοῦνται μᾶλλον τὸν ὀλέθριον προορισμόν, ὃν ἔχει ὡς πρὸς αὐτὰς τὸ πλοῖον.

540 κἑ. *προστρόπαιον*] ἱκετήριον, ὡς ποτιτρόπαιον 366.— *παλαίφατον*: Σχολ. «πολυβόητον». Πολλῷ δὲ μᾶλλον σημαίνει ἡ λέξις τὸ πάλαι ὑμνούμενον, τὸ παλαιὸν ἐν ἀντιθέσει πρὸς τὸ *πρόσφατον*.

542. *φιλίας . . γυναικὸς*] ἀνήκει πρὸς τὸ *γένος*.

543 κἑ. Σχολ. «ἀνανέωσον τὴν φήμην ὅτι σοῦ ἐσμεν». Αἱ λέξεις ἑρμηνεύονται διὰ τῶν ἑπομένων ὧδε: Ἀνανέωσον ἐν τῇ μνήμῃ σου (ἀναμνήσθητι) τὴν φιλόφρονα ἡμῖν παράδοσιν καὶ φήμην. Ὁ ἀψάμενός ποτε τῆς Ἰοῦς ἐν ἔρωτι γενοῦ τοῦδε μνήμων.— *γενοῦ πολυμνᾶστορ, ἔφαπτορ Ἰοῦς* : ὡς

SLUB Wir führen Wissen.
UNIVERSITÄT LEIPZIG

Δῖόν τοι γένος εὐχόμεθ' εἶναι
τᾶσδ' ἀπὸ γᾶς μέτοικοι.

παλαιὸν δ' εἰς ἴχνος μετέσταν — στροφ. β'.
ματέρος ἀνθονόμους ἐπωπάς,
λειμῶνα βούχιλον, ἔνθεν Ἰὼ
οἴστρῳ ἐρεσσομένα
φεύγει ἁμαρτίνοος,
πόλλ' ἀνδρῶν διαμειβομένα
φῦλα, διχῇ δ' ἀντίπορον
γαῖαν ἐν αἴσᾳ διατέμνουσα πόρον

712 κέ. *θεοὺς . . τίοιεν ἐγχωρίους*]. Ὁ νεοπλατωνικὸς Πορφύριος μνημονεύων νόμους τοῦ Τριπτολέμου καὶ Δράκοντος γράφει ἐν τῷ περὶ ἀποχ. ἐμψύχων 4, 22: φασὶ δὲ καὶ Τριπτόλεμον Ἀθηναίοις νομοθετῆσαι καὶ τῶν αὐτοῦ τρεῖς ἔτι Ξενοκράτης ὁ φιλόσοφος λέγει διαμένει Ἐλευσῖνι τούσδε· γονεῖς τιμᾶν, θεοὺς καρποῖς ἀγάλλειν, ζῷα μὴ σίνεσθαι . . καὶ Δράκοντος νόμος μνημονεύεται τοιοῦτος, θεσμὸς αἰώνιος τοῖς Ἀτθίδα νεμομένοις κύριος τὸν ἅπαντα χρόνον, θεοὺς τιμᾶν καὶ ἥρωας ἐγχωρίους ἐν κοινῷ ἑπομένους νόμοις πατρίοις, ἰδίᾳ κατὰ δύναμιν, σὺν εὐφημίᾳ καὶ ἀπαρχαῖς καρπῶν καὶ πελάνοις ἐπετείοις.— *οἳ γᾶν ἔχουσιν* = πολισσούχους (πολιούχους). — *πατρῴαις*: ἐν τῇ ἐννοίᾳ τοῦ *πατρίαις*, ὡς *πατρῷος* καὶ *πάτριος* ἐναλλάσσονται πολλάκις παρὰ τοῖς ποιηταῖς. Κυρίως δὲ σημαίνει *πατρῷον* μὲν τὸ τοῦ πατρός, *πάτριον* δὲ τὸ τῶν πατέρων. — *δαφνηφόροις βουθύτοισι*: μετενήνεκται εἰς τὸ *τιμαῖς* ἀπὸ τῶν ἀνθρώπων, οἵτινες ἐστεφανωμένοι δάφνῃ ἔθυον βοῦς. Κατὰ τὸν Hermann καὶ Kruse αἱ Ἱκέτιδες παραινίσσονται ὅτι ἀποστᾶσαι τῆς τὰς βουθυσίας ἀπαγο-

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

τὸ γὰρ τεκόντων σέβας
τρίτον τόδ᾽ ἐν θεσμίοις
Δίκας γέγραπται μεγιστοτίμου.

ΠΡΕΣΒΥΤΗΣ.

Εὐχὰς μὲν αἰνῶ τάσδε σώφρονας, φίλαι·
ὑμεῖς δὲ μὴ τρέσητ᾽ ἀκούσασαι πατρὸς
ἀπροσδοκήτους τούσδε καὶ νέους λόγους.
ἱκεταδόκου γὰρ τῆσδ᾽ ἀπὸ σκοπῆς ὁρῶ
τὸ πλοῖον. εὔσημον γάρ, οὔ με λανθάνει

ρευούσης αἰγυπτιακῆς λατρείας θέλουσι νὰ ἐπανέλθωσιν εἰς τὴν ἀρχαίαν καὶ πάτριον αὐτῶν. Πρβ. 1035.

715. *γὰρ*] αἰτιολογεῖ τὴν παραλειφθεῖσαν ἔννοιαν: τοὺς γονέας σέβοιντο, καθὰ ὀρθῶς παρατηρεῖ ὁ Σχολ. «πρῶτον θεούς, δεύτερον νόμους, τρίτον δὲ τόδε, τὸ τοὺς γονεῖς τιμᾶν· ἐχρῆν δὲ εἰπεῖν· καὶ τοὺς γονεῖς δὲ σέβοιντο· τὸ γὰρ τιμᾶν γονεῖς τρίτον ἐστὶ παράγγελμα δίκης». Τὰς τρεῖς ἐντολὰς τῆς περὶ τῶν ἑλληνικῶν καθηκόντων διδασκαλίας ἐκτίθησι πατὴρ τῷ υἱῷ αὐτοῦ παρ᾽ Εὐριπίδῃ ἀποσπ. 853: τρεῖς εἰσιν ἀρεταί, τὰς χρεών σ᾽ ἀσκεῖν, τέκνον, θεούς τε τιμᾶν τούς τε φύσαντας γονεῖς νόμους τε κοινοὺς Ἑλλάδος· καὶ ταῦτα δρῶν κάλλιστον ἕξεις στέφανον εὐκλείας ἀεί. Ἡ δευτέρα ἐντολὴ 'νόμους κοινοὺς Ἑλλάδος τιμᾶν' περιέχεται ἐν στίχ. 709 - 711. Παρασημειωτέον δὲ ὅτι οἱ πλεῖστοι τῶν νεωτέρων ἑρμηνευτῶν ἐξηγοῦνται τὸ γὰρ ἄλλως. Ἔπιθι Κριτ. ἐπισημ. — *τρίτον*: κεῖται κατηγορηματικῶς. — *θεσμίοις* = νομίμοις, ἐντολαῖς. — *μεγιστοτίμου* = ἐντιμοτάτης.

718 - 783 *τρίτον ἐπεισόδιον* συγκείμενον ἐκ τριῶν μερῶν: 1ον Ὁ Δαναός, κατοπτεύων τέως πρὸς τὴν θάλασσαν (721) ἐκ τοῦ βωμοῦ, ἀγγέλλει τὴν προσέγγισιν τοῦ στόλου τῶν Αἰγυπτιαδῶν καὶ θέλει νὰ ἀπέλθῃ, ἵνα κομίσῃ βοήθειαν. 2ον Κομμὸς (742-769), ἐν ᾧ αἱ παρθένοι ἐκδηλοῦσι τῷ πατρὶ τὸν φόβον αὐτῶν, πειρωμένῳ νὰ καταπραΰνῃ αὐτάς. 3ον Ὁ Δαναὸς ἐμμένει τῇ ἀποφάσει αὐτοῦ ἐλπίζων, ὅτι πρὸ τῆς ἀποβάσεως τοῦ αἰγυπτίου πληρώματος ἠδύνατο νὰ ἐπιστρέψῃ κομίζων βοήθειαν.

718 κέ. *εὐχὰς μὲν . . ὑμεῖς δὲ*] Αἱ ἱκεσίαι μὲν ὑμῶν αὗται εἶναι καλαὶ καὶ φρόνιμοι, ἀλλ᾽ ὅμως τὴν προσοχὴν ὑμῶν ἐπισπᾶται νῦν νέον πρᾶγμα, ὅπερ ἀκούσασαι μὴ φοβηθῆτε.

720. *νέους*] ἔπιθι σημ. εἰς 344.

721. *ἱκεταδόκου*] Σχολ. τῆς «δεξαμένης ἡμᾶς τοὺς ἱκέτας». Ὁ τῶν θεῶν βωμὸς ἕνεκα τῆς ὑψηλῆς αὐτοῦ θέσεως ἀποτελεῖ σκοπὴν (σκοπιάν). Ἴσως γραπτέον *ἱκταδόκου*, ὡς 198 ἱκτηρίας.

722. *τὸ πλοῖον*] Ἡ φοβερὰ λέξις κεῖται ἐμφαντικῶς ἐν τέλει τῆς προτάσεως καὶ ἐν ἀρχῇ τοῦ στίχου, ὡς τὸ βάλλ᾽ Ὁμ. Ἰλ. 1, 52. — Κατὰ πρῶτον ὁρᾶται ἡ ναυαρχὶς (ἡγεμὼν ναῦς 730), ἐν ᾧ ὀφείλει τις νὰ διανοηθῇ τὸν μετὰ ταῦτα παρερχόμενον κήρυκα. — *εὔσημον*: εὐσύνοπτον, εὐδιάκριτον, καταφανές. — *οὔ με λανθάνει*: Τὸ ἀσύνδετον, ὅπερ ὁ Weil ποιεῖται ἐκποδὼν γράφων: *οὐδὲ λανθάνει*, ἔχει καλῶς ἕνεκα τῆς προηγησαμένης παύσεως· ὀλίγον καὶ βαθμηδὸν καθίστανται καταφανῆ τὰ ἰδιαίτερα τοῦ πλοίου σημεῖα. Τὸ καλούμενον Πινδαρικὸν σχῆμα, ὅπερ ἀπαντᾷ συχνότερον ἐν τοῖς *ἔστιν* καὶ *ἦν*, ἔχει τὴν αἰτίαν ἐν

στολμοί τε λαίφους καὶ παραρρύσεις νεώς,
καὶ πρῷρα πρόσθεν ὄμμασιν βλέπουσ' ὁδόν,
οἴακος εὐθυντῆρος ὑστάτου νεὼς
ἄγαν καλῶς κλύουσα γλῶσσαν οὐ φίλην.
πρέπουσι δ' ἄνδρες νάϊοι μελαγχίμοις
γυίοισι λευκῶν ἐκ πεπλωμάτων ἰδεῖν,
καὶ τἄλλα πλοῖα πᾶσά θ' ἡ 'πικουρία
εὔπρεπτος· αὐτὴ δ' ἡγεμὼν ὑπὸ χθόνα
στείλασα λαῖφος παγκρότως ἐρέσσεται.

τούτῳ, ὅτι ὡς ὑποκείμενον παρίσταται τῷ ποιητῇ ἐν τῷ *λανθάνει* τὸ ὅλον, ἤτοι τὸ πλοῖον, οὗ ἐν τοῖς ἑπομένοις δηλοῦνται τὰ καθ' ἕκαστον εἰς τοὺς ὀφθαλμοὺς προσπίπτοντα μέρη. Πρβ. Πίνδ. ἀπόσπ. 78 ᾇ θύεται . . ἄνδρες, Εὐρ. Βάκχ. 1350 αἰαῖ, δέδοκται, πρέσβυ, τλήμονες φυγαί, Ἑλ. 1358 μέγα τοι δύναται νεβρῶν παμποίκιλοι στολίδες, Ἴων. 1146 ἐνῆν δ' ὑφανταὶ γράμμασιν τοιαίδ' ὑφαί, Φοιν. 349 ἐσιγάθη σᾶς ἔσοδοι νύμφας καὶ Κριτ. ἐπισημ. εἰς Πέρσ. 50.— *στολμοὶ λαίφους*: ἡ συσκευὴ τῶν ἱστίων. Σχολ. «κατὰ περίφρασιν τὸ λαῖφος». — *παραρρύσεις*: καλούμενα καὶ παραρρύματα (Ἡσύχ. «παραρρύματα· δέρρεις») ἦσαν παραβλήματα, παραπετάσματα δερμάτων καὶ σχοινίων ἐν ἑκατέραις ταῖς πλευραῖς τοῦ πλοίου πρὸς σκέπην αὐτοῦ ἀπὸ τῶν ἐχθρικῶν βελῶν. Διὰ τούτων δηλοῦται τὸ πλοῖον ὡς πολεμικόν. Πρβ. Ξενοφ. Ἑλλ. 1, 6, 19 καὶ 2, 1, 22.

724 κέ. Μετὰ θαυμαστῆς ζωηρότητος προσωποποιεῖται τὸ πλοῖον: Ἡ πρῷρα βλέπει ἀεὶ πρόσθεν τὴν ὁδὸν καὶ ἀκούει τὴν μισητὴν ἡμῖν γλῶσσαν τοῦ οἴακος, καίπερ ἐν τῷ ἐσχάτῳ μέρει τῆς νεὼς ὄντος, λίαν καλῶς. Ἐζωγραφημένους ὀφθαλμοὺς (Εὐστάθ. εἰς Ἰλ. 14, 717 «πτυχή ἐστιν, ὅπου οἱ ὀφθαλμοὶ ζωγραφοῦνται καὶ τὸ τῆς νεὼς ὄνομα ἐπιγράφεται») δὲν δύναταί τις νὰ ὑπονοήσῃ ἐν τῷ προκειμένῳ χωρίῳ. Ὡσαύτως δὲ δὲν φαίνεται πιθανὴ ἡ γνώμη τοῦ Stanley, ὑπολαμβάνοντος, ὅτι ὁ ποιητὴς ὑπαινίσσεται τὴν ἐτυμολογίαν τοῦ πρῷρα, ὄντος οἱονεὶ πρόορα. — *ὑστάτου νεώς*: ὡς Ὁμ. Ἰλ. 6, 118 ἄντυξ ἣ πυμάτη θέεν ἀσπίδος.— *κλύουσα γλῶσσαν*: ὡς κλύουσα ἐντολὴν καὶ κέλευσμα. Πρβ. κλύειν λιτάς, εὐχὰς Ἑ. ἐ. Θ. 157, 613, Χο. 126. Περὶ τοῦ μέτρου πρβ. Αγ. 1629 Ὀρφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις, Εὐρ. Ἠλ. 1014 γυναῖκα, γλώσσῃ πικρότης ἔνεστί τις.

727 κέ. *πρέπουσιν ἰδεῖν*] φαίνονται, προσπίπτουσιν εἰς τοὺς ὀφθαλμούς, ὡς πρέπει μαθεῖν Πέρσ. 250. Σχολ. «ἐκ τῶν λευκῶν πεπλωμάτων μέλανα γυῖα φαίνονται ἔχοντες». Περὶ τῆς στολῆς τῶν Αἰγυπτίων φορούντων ἱμάτια μετὰ βραχέων χειρίδων ἐκ λίνου ἢ βάμβακος, ἀεὶ καθαρὰ καὶ νεόπλυτα, ἔπιθι Ἡρόδ. 2, 37 εἵματα λίνεα φορέουσι αἰεὶ νεόπλυτα, ἐπιτηδεύοντες τοῦτο μάλιστα, Πλούτ. π. Ἴσ. κ. Ὀσ. σελ. 352 C καὶ Plin. h. n. 19, 2.

729. Κατ' ὀλίγον δὲ καθίστανται καταφανῆ καὶ τὰ ἄλλα πλοῖα καὶ τὰ πληρώματα πάντα.

730 κέ. *ὑπὸ χθόνα ἐρέσσεται*] προσπελάζει τῇ κωπηλασίᾳ εἰς τὴν ὄχθην. Ἡ ὑπὸ δηλοῖ, ὅτι ἡ ὄχθη ἦν ὑψηλή. Πρβ. Ξεν. Ἑλλ. 6, 5, 8 ἀνακεχωρηκότες ὑπὸ τὸ πρὸς Μαντινείας τεῖχος καὶ τὰς πύλας . . ἡσυχίαν ἦγον ἠθροισμένοι.— *παγκρότως*: ἐν παντὶ κρότῳ τῶν κωπῶν διὰ τὴν ὑπὸ πάντων τῶν

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

ἀλλ' ἡσύχως χρὴ καὶ σεσωφρονισμένως
πρὸς πρᾶγμ' ὁρώσας τῶνδε μὴ ἀμελεῖν θεῶν.
ἐγὼ δ' ἀρωγοὺς ξυνδίκους θ' ἥξω λαβών.
ἴσως γὰρ ἂν κῆρύξ τις ἢ πρέσβη μόλοι,
ἄγειν θέλοντες ῥυσίων ἐφάπτορες·
ἀλλ' οὐδὲν ἔσται τῶνδε· μὴ τρέσητέ νιν.
ὅμως ἄμεινον, εἰ βραδύνοιμεν βοῇ,
ἀλκῆς λαθέσθαι τῆσδε μηδαμῶς ποτε.
θάρσει. χρόνῳ τοι κυρίῳ τ' ἐν ἡμέρᾳ

κωπηλατῶν γενομένην κωπηλασίαν. Πρβ. νῆες μονόκροτοι, δίκροτοι, αἵτινες εἶχον μίαν καὶ δύο τάξεις ναυτικῶν ἑδωλίων, καὶ Εὐρ. Ἰφ. τ. ἐ. Τ. 407 ῥοθίοις εἰλατίνας δικρότοισι κώπας. — *στείλασα λαῖφος*: ἐν τῇ προσορμίσει εἰς τὴν ξηράν, συστελλομένων τῶν ἱστίων, ἐγίνετο χρῆσις τῶν κωπῶν. Πρβ. Ὁμ. Ἰλ. 1, 432 οἱ δ' ὅτε δὴ λιμένος πολυβενθέος ἐντὸς ἵκοντο, ἱστία μὲν στείλαντο . . τὴν δ' εἰς ὅρμον προέρεσσαν ἐρετμοῖς, Ὀδ. 16, 352 λιμένος πολυβενθέος ἐντὸς ἱστία τε στέλλοντας ἐρετμά τε χερσὶν ἔχοντας, Verg. Aen. 3, 207 vela cadunt, remis insurgimus.

732. *ἡσύχως καὶ σεσωφρονισμένως*] ἡσύχως καὶ ἀθορύβως. Πρβ. 719.

733. *πρὸς πρᾶγμ' ὁρώσας*] προσεχούσας τῷ πράγματι. — *τῶνδε μὴ ἀμελεῖν θεῶν*: ἤτοι ζητεῖν καταφυγὴν εἰς τὸν βωμὸν τῶν θεῶν.

734. *ἀρωγοὺς*] στρατιωτικὴν ἀρωγήν.— *ξυνδίκους*: συνηγόρους, ὧν τὸ ἔργον ἀναλαμβάνει ὕστερον ὁ βασιλεύς. Πρβ. Σοφ. Ο. ἐ. Κ. 1012 ἐλθεῖν ἀρωγοὺς ξυμμάχους τε. — *ἥξω λαβών*: ἐπιστρέψω λαβών.

735. *γὰρ*] περιέχει τὴν αἰτίαν τοῦ: τῶνδε μὴ ἀμελεῖν θεῶν, διότι ὁ προηγούμενος στίχος ἀποτελεῖ παρεμπίπτουσαν πρότασιν. — *πρέσβη*: πρεσβεία. Ἡ λέξις οὐδαμοῦ ἄλλοθι ἀπαντᾷ. Ἀλλ' ὅμως οὐδεμία διὰ τοῦτο αἰτία ὑπάρχει νὰ γράψῃ τις ἀντ' αὐτοῦ *πρέσβυς ἢ πρέσβις* (ὁ Σχολ. εἰς Ὁμ. Ἰλ. 4, 394 μνημονεύει τὴν παροιμίαν: πρέσβις οὐ τύπτεται οὐδὲ ὑβρίζεται).

736. *ἄγειν*] Ἰδὲ σημ. εἰς 620. — *θέλοντες*: διότι πρέσβη = πρέσβεις.— *ῥυσίων*: Σχολ. «ἐνεχύρων· ἐνεχυράζοντες ἡμᾶς διά τινος ἁρπαγῆς». Πρβ. σημ. εἰς 318. Ὁ Δαναὸς πρὸς παραμυθίαν τῶν ἑαυτοῦ θυγατέρων παραδέχεται τὸ μὴ χεῖρον κακὸν λέγων ὅτι οἱ πρέσβεις δὲν θὰ ἀπαγάγωσιν εὐθὺς τὰς Δαναΐδας, ἀλλὰ θὰ ἅψωνται ἐνεχύρου τινός, ἵνα ἐξαναγκάσωσιν τὴν ἀπόδοσιν αὐτῶν.

737. Εἰ καὶ μὴ εἶναι φόβος μὴ οὕτως ἀφίκωνται εἰς τὸ τέρμα αὐτῶν, ἀλλ' ὅμως εἶναι ἄμεινον νὰ ζητήσῃ τις προστασίαν καταφεύγων εἰς τὸν βωμόν.— *νιν*: αὐτούς, ὡς Ἑ. ἐ Θ. 471.

738. *βοῇ*] Ἐὰν βραδύνωμεν κατὰ τὴν βοήθειαν, ἐὰν βραδέως ἐπιστρέψαντες φέρωμεν τὴν βοήθειαν. Σχολ. «βοῇ νῦν τῇ βοηθείᾳ». Πρβ. Ἀγ. 1348 πρὸς δῶμα δεῦρ' ἀστοῖσι κηρύσσειν βοήν.—*βραδύνοιμεν*: πρβ. Θουκ. 7,43 μὴ βραδεῖς γένωνται τῇ ὁρμῇ.

739. *ἀλκῆς τῆσδε*] Σχολ. «τῆς τῶν βωμῶν καταφυγῆς».

740 κἑ. *χρόνῳ τοι κυρίῳ τ' ἐν ἡμέρᾳ*] Ἐν χρόνῳ ὡρισμένῳ καὶ τῇ εἱμαρμένῃ (κυρίῳ) ἡμέρᾳ δώσει δίκην (τιμωρηθήσεται) ὁ θεῶν καταφρονητής. Ἡ ἔννοια, καθ' ἣν ἡ τιμωρία κακῶν πράξεων ἐπέρχεται ἀεὶ καίπερ βραδεῖα, ἐκφράζεται πολλάκις παρὰ τοῖς τραγι-

θεοὺς ἀτίζων τις βροτῶν δώσει δίκην.

ΧΟΡΟΣ.

πάτερ, φοβοῦμαι, νῆες ὡς ὠκύπτεροι στροφ. α'.
ἥκουσι· μῆκος δ' οὐδὲν ἐν μέσῳ χρόνου.
περίφοβόν μ' ἔχει τάρβος ἐτητύμως,
πολυδρόμου φυγᾶς ὄφελος εἴ τί μοι·
παροίχομαι, πάτερ, δείματι.

ΠΡΕΣΒΥΤΗΣ.

ἐπεὶ τελεία ψῆφος Ἀργείων, τέκνα,
θάρσει, μαχοῦνται περὶ σέθεν, σάφ' οἶδ' ἐγώ.

ΧΟΡΟΣ.

ἐξῶλές ἐστι μάργον Αἰγύπτου γένος ἀντιστρ. α'.

κοῖς πρὸς παραμυθίαν τῶν κατατρυχομένων καὶ καταπιεζομένων. Πρβ. Χο. 381 Ζεῦ Ζεῦ, κάτωθεν ἰάλλων ὑστερόποινον ἄταν βροτῶν τλάμονι καὶ πανούργῳ χειρί, τόκοισι δ' ὅμως τελεῖται, Σοφ. Ἀντ. 1074 ὑστεροφθόροι . . Ἐρινύες. Εὐρ. ἀπόσπ. 979 οὔτοι προσελθοῦσ' ἡ Δίκη σε, μὴ τρέσῃς, παίσει πρὸς ἧπαρ οὐδὲ τῶν ἄλλων βροτῶν τὸν ἄδικον, ἀλλὰ σῖγα καὶ βραδεῖ ποδὶ στείχουσα μάρψει τοὺς κακούς, ὅταν τύχῃ, ἔτι δὲ καὶ Ὁμ. Ἰλ. 4, 160 εἴπερ γάρ τε καὶ αὐτίκ' Ὀλύμπιος οὐκ ἐτέλεσσεν, ἔκ τε καὶ ὀψὲ τελεῖ, σύν τε μεγάλῳ ἀπέτισαν σὺν σφῇσιν κεφαλῇσι γυναιξί τε καὶ τεκέεσσιν.

742-769 *κομμός*. Ἑκάστη στροφὴ ἄρχεται ἐκ δύο τριμέτρων, ἅτινα ἐξαγγέλλει, ὡς φαίνεται, ὁ κορυφαῖος, ἐν ᾧ τὰ ἑπόμενα αὐτοῖς μελικὰ μέρη ᾄδει σύμπας ὁ χορός. Ἑκάστῃ δὲ στροφῇ ἕπονται δύο τρίμετρα τοῦ Δαναοῦ.

742 κἑ. ὡς] αἰτιολογικῶς. — *ὠκύπτεροι*: πρβ. σημ. εἰς Προμ. 484 λινόπτερα . . ναυτίλων ὀχήματα. — *μῆκος χρόνου οὐδὲν ἐν μέσῳ*: βραχὺς μόνον χρόνος ὑπάρχει μεταξὺ τοῦ νῦν καὶ τῆς ἀφίξεως αὐτῶν, οὐχὶ δέ, καθὰ ἑρμηνεύει ὁ Σχολ. «τῆς ἡμῶν φυγῆς καὶ τῆς τούτων παρουσίας», ᾧπερ ἑπόμενος ὁ Weil λέγει, ὅτι τὸ *ἥκουσι* ἔχον σημασίαν παρῳχημένου χρόνου δηλοῖ τὴν ἤδη γενομένην ἄφιξιν καὶ παρουσίαν τῶν νεῶν. Πρβ. Εὐρ. Ἡρακλείδ. 171 κακῶς γὰρ Ἀργείοισιν οἵδ' ὡπλισμένοι μάχοιντ' ἂν ἡβήσαντες . . χοὐν μέσῳ πολὺς χρόνος, Φοιν. 588 ἀνήλωται χρόνος οὑν μέσῳ μάτην, Verg. Aen. 9, 395 nec longum in medio tempus.

744. *περίφοβον τάρβος*] κατὰ ποιητικὸν πλεονασμόν, ὡς Ἑ. ἐ. Θ. 226 ταρβοσύνῳ φόβῳ.

745. (ἀγνοοῦσα) *εἴ τι ὄφελος* (ἐστί) *μοι πολυδρόμου φυγῆς*] Περὶ τῆς ἐννοίας καὶ συντάξεως ἔπιθι σημ. εἰς 78. Ἐν ἄλλῳ πως τρόπῳ λέγει ὁ Σοφ. Τραχ. 176 φόβῳ . . ταρβοῦσαν, εἴ με χρὴ μένειν πάντων ἀρίστου φωτὸς ἐστερημένην. Ὁ χορὸς φοβεῖται μὴ ἡ ἐξ Αἰγύπτου μακρὰ ὁδός, ἣν διήνυσεν καταφεύγων εἰς Ἄργος, ἀποβῇ νῦν αὐτῷ ματαία καὶ ἀνωφελής.

746. *παροίχομαι δείματι*] ὡς οἴχομαι φόβῳ 794.

747. *τελεία*] ἔχουσα κῦρος (609 κἑ.) καὶ ἀμετάκλητος. Σχολ. «τελεσθεῖσα».

749. *ἐξῶλές ἐστι*] πρβ. 103 πανώλεις βροτούς. — *μάργον*: ὁρμητικὸν καὶ βίαιον.

μάχης τ' ἄπληστον· καὶ λέγω πρὸς εἰδότα.
δοριπαγεῖς δ' ἔχοντες κυανώπιδας
νέας ἔπλευσαν ὦδ' ἐπιτυχεῖ κότῳ
πολεῖ μελαγχίμῳ σὺν στρατῷ.

ΠΡΕΣΒΥΤΗΣ.

πολλούς δέ γ' εὑρήσουσιν ἐν μεσημβρίας
θάλπει βραχίον' εὖ κατερρινωμένους.

ΧΟΡΟΣ.

μόνην δὲ μὴ πρόλειπε· λίσσομαι, πάτερ. στροφ. β'.
γυνὴ μονωθεῖσ' οὐδέν· οὐκ ἔνεστ' Ἄρης.

750. *λέγω πρὸς εἰδότα*] Περὶ τῆς παροιμιώδους ταύτης ῥήσεως ἔπιθι σημ. εἰς Προμ. 457 εἰδυίαισιν ἂν ὑμῖν λέγοιμι. Ἡ προσθήκη αὕτη μετάγει τὴν φαντασίαν εἰς παρελθὸν πλῆρες ἐρίδων καὶ ἀγώνων. Περὶ τῶν ἐν Αἰγύπτῳ ἀγώνων διελάμβανε τὸ ἐπικὸν ποίημα Δαναΐς. Πρβ. Εἰσαγ. σελ. 309.

751. *δοριπαγεῖς*] ἐκ δοκῶν συμπεπηγμένας, δηλοῖ τὴν στερεότητα τῶν πλοίων. — *κυανώπιδας*: τὰς κυανᾶς ἤτοι μελανιζούσας πρῴρας ἐχούσας. Ἔπιθι σημ. εἰς Πέρσ. 562 κυανώπιδες νᾶες.

752. *ὦδε*] δεῦρο.—*ἐπιτυχεῖ κότῳ*: ἐν ὀργῇ ἐξευρούσῃ ἡμᾶς καὶ τυχούσῃ τοῦ σκοποῦ αὐτῆς.

753. *πολεῖ*] ὡς πολέα Ἀγ. 724, Πέρσ. 272.— *μελαγχίμῳ*: πρβ. 727.

754 κέ. Ὁ γὲ ἐπιτείνει τὴν ἀντίθεσιν ἐν τοιᾷδε ἐννοίᾳ: Ἐὰν ὁ στρατὸς αὐτῶν ᾖ πολύς, πάντως ὅμως εὑρήσουσι καὶ ἐνταῦθα πολλοὺς ἀντιπάλους, ὄντας ἐπίσης μελάγχρους, διότι τὸ θάλπος τοῦ τῆς μεσημβρίας ἡλίου ἐπύρωσεν αὐτοὺς ἐν ταῖς σωμασκίαις. Σχολ. «καλῶς ἐν ἡλίῳ γεγυμνασμένους». Πρὸς τὸ *κατερρινωμένους*, ὅπερ παραγόμενον ἀπὸ τοῦ *ῥινὸς* σημαίνει οἱονεὶ τοὺς ὑπὸ δέρματος κεκαλυμμένους, πρβ. Ἡσύχ. «κατερρινωμένον· καταπεπυκασμένον, καταδεδερματωμένον». Πρὸς τὸ παραδεδομένον *κατερρινημένους* (ἀπὸ τοῦ ῥίνη, ῥινίον) παραβάλλει ὁ Bothe Quintil. or. 8, 3, 12 quorum lacertos exercitatio expressit ac constrinxit, ὁ δὲ Paley Tacit. Germ. 30 strictos artus, Lucret. 3, 214 nil ibi limatum de toto corpore cernas. Ἐὰν ἡ γραφὴ αὕτη ᾖ ὀρθή, τότε τὸ *κατερρινημένους* θὰ ἐσήμαινε τοὺς ἀπηκριβωμένους καὶ οἱονεὶ ἐρρινημένους διὰ τῆς σωμασκίας ἔχοντας τοὺς βραχίονας ἤτοι διὰ τῆς γυμναστικῆς ἀποβαλόντας τὰ περιττὰ κρέατα. Ἀλλὰ τὸ *κατερρινωμένους* ἁρμόζει μάλιστα ἕνεκα τῆς ἀναφορᾶς αὐτοῦ πρὸς τὸ μέλαν δέρμα τῶν Αἰγυπτίων.—Ἐν ὑπερηφανίᾳ ἐξαίρει ὁ Ἕλλην τὰ ἀποτελέσματα τῆς γυμναστικῆς, ἅτινα ἐκδηλοῦνται ἐν τῇ εὐρωστίᾳ τοῦ σώματος. Πρβ. σκιατραφὴς καὶ σκιατροφία ὡς ἐξευτελιστικὰς δηλώσεις θηλυπρεποῦς βίου παρ' Εὐρ. Βάκχ. 457 λευκὴν δὲ χροιὰν . . ἔχεις, οὐχ ἡλίου βολαῖσιν, ἀλλ' ὑπὸ σκιᾶς τὴν Ἀφροδίτην καλλονῇ θηρώμενος, Πλάτ. Φαῖδρ. σελ. 239 C μαλθακόν τινα καὶ οὐ στερεὸν οὐδ' ἐν ἡλίῳ τεθραμμένον καθαρῷ, ἀλλ' ὑπὸ συμμιγεῖ σκιᾷ, πόνων μὲν ἀνδρείων καὶ ἱδρώτων ξηρῶν ἄπειρον.

757. *γυνὴ μονωθεῖσ' οὐδέν*] πρβ. Εὐμ. 38 δείσασα γὰρ γραῦς οὐδέν. — *οὐκ ἔνεστιν Ἄρης*: στερεῖται πολεμικοῦ μένους καὶ ἀνδρείας. Πρβ. Ὁμ. Ἰλ. 17, 210 δῦ δέ μιν Ἄρης δεινὸς

οὐλόφρονες δὲ καὶ δολιομήτιδες
δυσάγνοις φρεσίν, κόρακες ὥστε βω-
μῶν ἀλέγοντες οὐδέν.

ΠΡΕΣΒΥΤΗΣ.

καλῶς ἂν ἡμῖν ξυμφέροι ταῦτ', ὦ τέκνα,
εἰ σοί τε καὶ θεοῖσιν ἐχθαιροίατο.

ΧΟΡΟΣ.

οὐ μὴ τριαίνας τάσδε καὶ θεῶν στέφη   ἀντιστρ. ϐ'.
δείσαντες ἡμῶν χεῖρ' ἀπόσχωνται, πάτερ.
φυσίφρονες δ' ἄγαν ἀνιέρῳ μένει
μεμαργωμένοι κυνοθρασεῖς, θεῶν

ἐνυάλιος, πλῆσθεν δ' ἄρα οἱ μέλε' ἐντὸς ἀλκῆς καὶ σθένεος, Σοφ. Ἠλ. 1244 ὅρα γε μὲν δὴ κὰν γυναιξὶν ὡς Ἄρης ἔνεστιν.

758. *οὐλόφρονες*] δηλαδή εἰσιν οἱ Αἰγυπτιάδαι, ἤτοι ὀλέθρια καὶ δεινὰ φρονοῦντες, σκληροὶ καὶ ἀποτρόπαιοι. Πρϐ. τὸ ὁμηρικὸν ὀλοόφρων.— *δολιομήτιδες*: δολόφρονες καὶ ἀπατεῶνες. — *δυσάγνοις φρεσίν*: ἔχοντες ἀνάγνους καὶ μιαρὰς φρένας.

759 κέ. *κόρακες ὥστε*] Οὐχὶ ὀρθῶς ὁ Σχολ. «λείπει ἁρπάζουσί με». Τὸ ῥῆμα *εἰσὶν* ὑπονοεῖται καὶ ἐνταῦθα, ὡς 758, τὸ δὲ *κόρακες ὥστε* (κοράκων δίκην) ἀναφέρεται εἰς τὸ *βωμῶν ἀλέγοντες οὐδὲν* σημαῖνον, ὅτι οἱ Αἰγυπτιάδαι ἐν οὐδενὶ ποιοῦνται τοὺς ἱεροὺς βωμοὺς (πρϐ. σημ. εἰς 229), ὥσπερ οἱ κόρακες, οἵτινες ἁρπάζουσιν ἀπὸ τῶν βωμῶν τὰ θύματα. Πρϐ. Παυσ. 5,14,1 ὁ ἐν Ὀλυμπίᾳ βωμὸς παρέχεται καὶ ἄλλο τοιόνδε ἐς θαῦμα· οἱ γὰρ ἰκτῖνες πεφυκότες ἁρπάζειν μάλιστα ὀρνίθων ἀδικοῦσιν οὐδὲν ἐν Ὀλυμπίᾳ τοὺς θύοντας· ἢν δὲ ἁρπάσῃ ποτὲ ἰκτῖνος ἤτοι σπλάγχνα ἢ τῶν κρεῶν, νενόμισται τῷ θύοντι οὐκ αἴσιον εἶναι τὸ σημεῖον.— *ἀλέγοντες*: ἐπικὴ λέξις. Πρϐ. Ὁμ. Ὀδ. 9, 275 οὐ γὰρ Κύκλωπες Διὸς αἰγιόχου ἀλέγουσιν οὐδὲ θεῶν μακάρων.

762. *σοί τε καὶ θεοῖσιν*] τόσον τοῖς θεοῖς ὅσον καὶ σοί. Πρϐ. Ὁμ. Ἰλ. 22, 41 αἴθε θεοῖσι φίλος τοσσόνδε γένοιτο ὅσσον ἐμοί, Σοφ. Φιλ. 390 ὁ δ' Ἀτρείδας στυγῶν ἐμοί θ' ὁμοίως καὶ θεοῖς εἴη φίλος. — *ἐχθαιροίατο*: γένοιντο ἐχθροὶ καὶ ἀπεχθεῖς. Σχολ. «εἰ ἀσεϐήσειαν εἰς τοὺς βωμούς».

763 κέ. *οὐ μὴ*] Ἔπιθι σημ. εἰς 234. — *τριαίνας*: τὸ τοῦ Ποσειδῶνος σύμϐολον καὶ σημεῖον (224). — *στέφη*: στέμματα, τοὺς ἐριοστέπτους κλάδους, οἵτινες ἐτέθησαν (515) ἐπὶ τῶν βωμῶν τῶν θεῶν. Πρϐ. Σοφ. Ο. Τ. 913 στέφη λαϐοῦσα κἀπιθυμιάματα, Εὐρ. Ἱκ. 36 σέϐουσα δ' ἱερὰ στέμματα, 359 σέμν' ἀφαιρεῖτε στέφη μητρός.— *ἀπόσχωνται ἡμῶν χεῖρα*: Πρϐ. Ὁμ. Ὀδ. 22, 316 κακῶν ἄπο χεῖρας ἔχεσθαι.

765 κέ. *φυσίφρονες δ' ἄγαν* (εἰσί)] Ἡσύχ. «φυσίφρονες· πεφυσημένοι τὰς φρένας, μάταιοι». — *ἀνιέρῳ μένει*: πρϐ. 759 δυσάγνοις φρεσίν.— *μεμαργωμένοι*: Πρϐ. μάργον γένος 749. Σημειωτέον δὲ ὅτι μαργοῦν = μανιώδη ποιεῖν, *μαργᾶν* = μανιώδη εἶναι. — *κυνοθρασεῖς*: Πρϐ. Ὁμ. Ἰλ. 10,503 μερμήριζε μένων ὅ τι κύντατον ἔρδοι, αὐτόθι 356 εἵνεκ' ἐμοῖο κυνὸς καὶ Ἀλεξάνδρου ἕνεκ' ἄτης, 3, 180 δαὴρ αὖτ' ἐμὸς ἔσκε κυνώπιδος.

οὐδὲν ἐπαΐοντες.

ΠΡΕΣΒΥΤΗΣ.

ἀλλ' ἔστι φήμη κρείσσονας λύκους κυνῶν
εἶναι· βίβλου δὲ καρπὸς οὐ κρατεῖ στάχυν.

ΧΟΡΟΣ.

ὡς καὶ ματαίων ἀνοσίων τε κνωδάλων

767. *ἐπαΐοντες*] ἐπακούοντες. Τὸ *ἐπαΐειν* ἔχει ἐνταῦθα τὸ α μακρόν, ὡς Σοφ. Αἴ. 1263 τὴν βάρβαρον γὰρ γλῶσσαν οὐκ ἐπαΐω, τοὐναντίον δὲ ἀποτελεῖ Ἀγ. 55 τὸ ἀΐων ἀνάπαιστον.

768. Ἀλλὰ λέγεται ὅτι οἱ λύκοι εἶναι ἰσχυρότεροι τῶν κυνῶν ἤτοι ἐὰν ἐκεῖνοι ὦσι κύνες, ἔσονται αὐτοῖς οἱ Ἀργεῖοι λύκοι. Ἡ χρῆσις τῆς παροιμιώδους ῥήσεως: κρείσσονες λύκοι κυνῶν, ἔχει ἀναφορὰν εἰς τὴν λατρείαν τοῦ Ἀπόλλωνος λυκείου ἐν Ἄργει (694).

769. *εἶναι*] Ὁμοίαν θέσιν ἐν ἀρχῇ τοῦ στίχου ἔχει τὸ *εἶναι* Ἀγ. 1122 οὐ κομπάσαιμ' ἂν θεσφάτων γνώμων ἄκρος | εἶναι, ὅπερ μηνύει, ὅτι ἡ θέσις αὕτη τοῦ στίχου δὲν ἔχει ἀεὶ τὸν τόνον.— *βίβλου*: ἔχει ἐνταῦθα βραχὺ ι, ἀλλαχοῦ δὲ μακρόν, οἷον Ὁμ. Ὀδ. 21, 391, Προμ. 837. Σημειωτέον δὲ ὅτι καὶ ἀλλαχοῦ, οἷον Σοφ. Φιλ. 1311, Ἠλ. 440, Ο. Τ. 717, Ο. ἐ. Κ 972, Εὐρ. ἀποσπ. 429, 697, ἀπαντᾷ βραχεῖα συλλαβὴ πρὸ τοῦ βλ.— *βίβλου.. στάχυν*: Οἱ τρεφόμενοι ἀπὸ παπύρου, ὡς οἱ Αἰγύπτιοι, εἶναι ἀσθενέστεροι τῶν σιτοφάγων, οἷοί εἰσιν οἱ Ἀργεῖοι. Σχολ. «ἐπεὶ παπυροφάγοι οἱ Αἰγύπτιοι». Πρβ. Θεοφ. π. φυτ. ἱστ. 4, 8 μάλιστα δὲ καὶ πλείστη βοήθεια πρὸς τὴν τροφὴν ἀπ' αὐτοῦ (τοῦ παπύρου) γίνεται μασῶνται γὰρ ἅπαντες οἱ ἐν τῇ χώρᾳ τὸν πάπυρον καὶ ὠμὸν καὶ ἑφθὸν καὶ ὀπτόν· καὶ τὸν μὲν χυλὸν καταπίνουσι, τὸ δὲ μάσημα ἐκβάλλουσιν καὶ Plin. H. N. 13, 22 § 72 papyrum . . mandunt quoque crudum decoctumque sucum tantum devorantes καὶ Κριτ. ἐπισ. Ἐσφαλμένη εἶναι ἡ ἑρμην. τοῦ Ζηνοβ. 2, 73 «ἐπὶ τῶν οὐ δυναμένων τοῖς ἰδίοις χρῆσθαι καλοῖς, παρόσον ἀσθενὴς ἡ βύβλος πρὸς τὸ φέρειν σῖτον. στάχυας γὰρ ἀνατέλλουσα οὐ τρέφει». Πρβ. 963 κέ.— *οὐ κρατεῖ στάχυν*: οὐχ ὑπερτερεῖ τοῦ στάχυος τοῦ σίτου ἤτοι οἱ Αἰγύπτιοι οὐχ ὑπερτεροῦσι τῶν Ἀργείων κατὰ τὴν ῥώμην καὶ τὸ πολεμικὸν μένος. Σημειωτέον δὲ ὅτι ὁ πάπυρος ἐξέλιπε παντάπασιν ἐν τῇ νῦν Αἰγύπτῳ (πρβ. V. Hehn σελ. 250 4).—Ἡ τῶν τοιούτων γνῶσις τοῦ ποιητοῦ κατάγεται ἴσως ἐκ τοῦ Ἑκαταίου. Ἔπιθι σημ. εἰς 964.

770 κέ. Μετὰ τὸ ὡς *καὶ ματαίων .. κνωδάλων ὀργὰς ἔχοντες*, ὤφειλε νὰ εἴπετο *τάχα ἂν κρατήσειαν*. Ἀλλ' ὁ ποιητὴς φεύγων τὸ ἀπαίσιον λέγει *χρὴ φυλάσσεσθαι κράτος*. Πρὸς τὴν ἀνακολουθίαν ταύτην τῆς ὀνομαστικῆς πρβ. Krüger, Μέρ. Α'. § 56, 9, 4, Χο. 1057 Λοξίου δὲ προσθιγών, ἐλεύθερόν σε τῶνδε πημάτων κτίσει, 787 ἐπεί νιν μέγαν ἄρας, δίδυμα καὶ τριπλᾶ παλίμποινα θέλων ἀμείψει, αὐτόθι 518, Ἀγ. 653, 959, 970, 996, Εὐμ. 95, 100, 480, Ὁμ. Ἰλ. 15, 267 ὃ δ' ἀγλαΐηφι πεποιθώς, ῥίμφα ἑ γοῦνα φέρει μετὰ ἤθεα καὶ νομὸν ἵππων, ἔτι δὲ καὶ τὴν ἔμπροσθεν σημ. εἰς 455 κέ. — *ὡς καὶ ματαίων . . κνωδάλων ὀργάς*: Ἐπειδὴ δὲ οὐ μόνον θρασέων κυνῶν, ἀλλὰ καὶ ματαίων καὶ ἀνοσίων κνωδάλων ὀργὴν καὶ ἐμπάθειαν ἔχουσι, διὰ τοῦτο ὀφείλει τις κτλ.— *κράτος*: κεῖται οὐχὶ ἐπιρρηματικῶς = κατὰ κράτος, κάρτα, καθὰ ἑρμηνεύει ὁ Kühner (Griech. Gram. § 549), ἀλλ' ὡς ἀντι-



SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG

ἔχοντες ὀργὰς — χρὴ φυλάσσεσθαι κράτος.

ΠΡΕΣΒΥΤΗΣ.

οὔτοι ταχεῖα ναυτικοῦ στρατοῦ στολή,
οὐδ' ὅρμος, οὐδὲ πείσματ' εὐνατήρια
ἐς γῆν ἐνεγκεῖν, οὐδ' ἐν ἀγκυρουχίαις
θαρσοῦσι ναῶν ποιμένες παραυτίκα,
ἄλλως τε καὶ μολόντες ἀλίμενον χθόνα

κείμενον τοῦ *φυλάττεσθαι* σημαῖνον: ὀφείλει τις νὰ φυλάσσηται καὶ φροντίζῃ, ὅπως μὴ ὑπερισχύσωσι καὶ ἐπικρατήσωσιν. Σχολ. «τὴν βίαν».

772. *ταχεῖα . . στολή*] Εἰς τὸν προκείμενον στίχον δύναται νὰ ἀναφέρηται ἡ ἑρμηνεία τοῦ Ἡσυχίου «στολή· πορεία, κίνησις», καθὰ ἑρμηνεύει καὶ ὁ Σχ. «οὐδὲ (ἀναγν. οὔτε) ἡ ὁρμὴ ταχεῖα οὔτε ἡ ἔκβασις». Ἀλλ' ὅμως *στέλλειν στρατὸν* σημαίνει Ἀγ. 790, Πέρσ. 180 καὶ ἀλλαχοῦ ἐξοπλίζειν καὶ παρασκευάζειν στρατόν. Ὅθεν καὶ ἐνταῦθα ἡ ἔννοια εἶναι: οὐδαμῶς χωρεῖ οὕτω ταχέως ἡ παρασκευὴ καὶ ἀπόβασις ναυτικοῦ στρατοῦ.

773 κἑ. Ἐν τῷ *ὅρμος* ἀναπληροῦται τὸ *ταχύς*, ὥσπερ *ταχὺ* εἰς τό: *ἐς γῆν ἐνεγκεῖν πείσματα εὐνατήρια*: Οὐδὲ ἡ προσόρμισις εἰς λιμένα γίνεται οὕτω ταχεῖα, οὐδὲ ἡ πρόσδεσις τῶν πρυμνησίων εἰς τὴν γῆν, οὐδὲ εἰς τὴν εὐθὺς ἀγκυροβολίαν θαρροῦσιν οἱ ναῦται. — *ὅρμος*: ὡς Ἡρ. 8,193 ἐν τούτῳ ὅρμον οἱ Ξέρξεο ἐποιεῦντο. — *πείσματ' εὐνατήρια*: πρυμνήσια, τὰ ἀπόγεια σχοινία, οἷς ἐκ τῆς πρύμνης δεσμεῖται ἡ ναῦς πρὸς τῇ γῇ ἡσυχάζουσα. Πρβ. Εὐρ. Μηδ. 770 ἐκ τοῦδ' ἀναψόμεσθα πρυμνήτην κάλων, Ἱππολ. 760 Μουνύχου δ' ἀκταῖσιν ἐκδήσαντο πλεκτὰς πεισμάτων ἀρχάς. Καλοῦνται δὲ τὰ *πείσματα* (Ἐτυμ. Μ. «πείσματα, τὰ ἀπόγεια σχοινία, πείθειν καὶ εἴκειν τὴν ναῦν ποιοῦσιν». Πρβ. σημ. εἰς Πέρσ. 114) *εὐνατήρια*, ἅτε κατευνάζοντα τὴν ναῦν. Πρβ. τὸ ὁμηρικὸν *εὐναί*. Ὁ τύπος *εὐνατήριος* ὡς Πέρσ. 163 εὐνατήριον. — *ἐς γῆν ἐνεγκεῖν*: πρβ. Ὁμ. Ἰλ. 1,436 ἐκ δ' εὐνὰς ἔβαλον. Ἐν πρώτοις μνημονεύεται τὸ κύριον (ναυτικοῦ στρατοῦ στολή), εἰ καὶ κατὰ τὸν χρόνον καὶ τὴν τάξιν ἡ παρασκευὴ καὶ παράταξις τοῦ στρατοῦ γίνεται τελευταία. Πρβ. Εὐρ. Μηδ. 1 εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος Κόλχων ἐς αἶαν κυανέας Συμπληγάδας, μηδ' ἐν νάπαισι Πηλίου πεσεῖν ποτε τμηθεῖσα πεύκη μηδ' ἐρετμῶσαι χέρας ἀνδρῶν ἀριστέων καὶ τὴν ἐν τῇ ὑποθέσει τοῦ δράματος σημείωσιν «ἐπαινεῖται ἡ εἰσβολὴ διὰ τὸ παθητικῶς ἄγαν ἔχειν καὶ ἡ ἐπεξεργασία, μηδ' ἐν νάπαισι, καὶ τὰ ἑξῆς· ὅπερ ἀγνοήσας Τιμαχίδας τῷ ὑστέρῳ φησὶ πρώτῳ κεχρῆσθαι κτἑ.». Οἱ δισταγμοὶ οὗτοι, ὅτι ἡ ἀπόβασις ἀπαιτεῖ χρόνον καὶ ὅτι ἕνεκα τῆς νυκτὸς οὐδὲ νὰ ἀγκυροβολήσωσι ἐν ἀλιμένῳ ἀκτῇ θὰ ἐτόλμων οἱ Αἰγυπτιάδαι, παρέχει τῷ Δαναῷ περαιτέρω ἀφορμὴν πρὸς παραμυθίαν τῶν ἑαυτοῦ θυγατέρων καὶ τὴν ἐλπίδα περὶ μὴ ἀποβάσεως αὐτῶν εἰς τὴν ξηράν (779 κἑ.).

774 κἑ. *ἐν ἀγκυρουχίαις*] Σχολ. «ταῖς ἀσφαλείαις καὶ κατοχαῖς τῶν ἀγκυρῶν» προκειμένου περὶ διακατοχῇ τῶν νεῶν διὰ ἀγκυρῶν (οὐδὲ ἐν τῷ ἀγκυροβολεῖν καὶ τῷ ἐκζητεῖν κατάλληλον ὅρμον θαρροῦσιν εὐθύς). — *ναῶν ποιμένες*: Σχολ. «κυβερνῆται». Πρβ. Εὐρ. Ἱκ. 674 ποιμένες ὄχων τετραόρων, Φοιν. 1140 ποιμέσιν λόχων, ἔτι δὲ καὶ Πέρσ. 244 τίς δὲ ποιμάνωρ ἔπεστι κἀπιδεσπόζει στρατῷ; κατὰ τὸ ὁμηρικὸν ποιμένα λαῶν.

776. *ἀλίμενον χθόνα*] Περὶ τῆς

ἐς νύκτ᾽ ἀποστείχοντος ἡλίου. φιλεῖ
ὠδῖνα τίκτειν νὺξ κυβερνήτῃ σοφῷ.
οὕτω γένοιτ᾽ ἂν οὐδ᾽ ἂν ἔκβασις στρατοῦ
καλή, πρὶν ὅρμῳ ναῦν θρασυνθῆναι. σὺ δὲ
φρόνει μὲν ὡς ταρβοῦσα μὴ ἀμελεῖν θεῶν·

*  *  *  *  *  *

ἀπροθέτου αἰτιατικῆς ἐπὶ ῥημάτων κινήσεως σημαντικῶν ἔπιθι σημ. εἰς Πέρσ. 181 καὶ 454. Ὁ αἰγιαλός, ἔνθα ἔκειτο τὸ χωρίον Ἀποβαθμοί, ἔνθα ἀπέβη ὁ Δαναός, εἶναι ἀλίμενος μέχρι τοῦ Θυρεατικοῦ κόλπου, ἡ δὲ Ναυπλία ἀποτελεῖ τὸν μόνον λιμένα ἐν τῇ ἀκτῇ τῆς Ἀργολίδος.

777 κέ. *ἐς νύκτ᾽ . . ἀποστείχοντος ἡλίου*] Πρβ. Χο. 656 τάχυνε δ᾽, ὡς καὶ νυκτὸς ἅρμ᾽ ἐπείγεται σκοτεινόν. Ἐκ τῶν χωρίων τούτων καθίσταται δῆλον, ὅτι οἱ Ἕλληνες θεαταὶ ἐπὶ τῶν χρόνων τοῦ Αἰσχύλου προσέχοντες τῇ δραματικῇ παραστάσει ὥσπερ ἀκροάσει ἐπικῆς διηγήσεως οὐδαμῶς προσέκρουον εἰς τοῦτο, ὅτι γίνεται λόγος περὶ νυκτός, ἐν ᾧ ἐν τῷ θεάτρῳ εἶχον πλήρη ἡμέραν.— *ἀποστείχοντος*: δηλαδὴ εἰς τὴν δύσιν. — *φιλεῖ*: Ἡσύχ. «φιλεῖ· εἴωθεν». Πρβ. Σοφ. Ἠλ. 320, Ἀντ. 722, Εὐρ. Μηδ. 48, Ἱππ. 161, Ἀριστοφ. Νεφ. 812. Τὸ ἀσύνδετον ἐν τῇ ἐπεξηγήσει. — *ὠδῖνα*: πρβ. Χο. 210 πάρεστι δ᾽ ὠδὶς καὶ φρενῶν καταφθορά (Σχολ. «ἀλγηδὼν καὶ λύπη καὶ ὥσπερ ὠδίνω τὰ παρόντα»), Σοφ. Τραχ. 42 ἐμοὶ πικρὰς ὠδῖνας αὐτοῦ προσβαλὼν ἀποίχεται, Αἴ. 794 ὥστε μ᾽ ὠδίνειν τί φῄς.—Πρβ. Πλουτ. Συμποσ. προβλ. 1 σελ. 619 Ε οὐ γὰρ μόνον, ὠδῖνα τίκτει νὺξ κυβερνήτῃ σοφῷ, κατὰ τὸν Αἰσχύλον, ἀλλὰ καὶ πότου πᾶσα καὶ ἀνέσεως ἡδονὴ στρατηγῷ καὶ ἄρχοντι φροντίδος ἄξιόν ἐστιν καὶ οὐδὲ ζῆν ἔ. ἡδ. κ. Ἐπίκ. σελ. 1090 Α ὥσπερ ἐν θαλάσσῃ κατ᾽ Αἰσχύλον, ὠδῖνα τίκτει νὺξ κυβερνήτῃ σοφῷ, καὶ γαλήνῃ (ὁ Wyttenbach κἂν ᾖ γαλήνη)· τὸ γὰρ μέλλον ἄδηλον· οὕτως ἐν σώματι ψυχὴν εὐσταθοῦντι καὶ ταῖς περὶ σώματος ἐλπίσι τἀγαθὸν θεμένην οὐκ ἔστιν ἄφοβον καὶ ἄκυμον διεξαγαγεῖν. Ἐν τῷ δευτέρῳ Πλουταρχείῳ χωρίῳ ἀποφαίνει ὁ Paley τὴν ῥῆσιν, κἂν ᾖ γαλήνη, Αἰσχύλειον, παραβάλλων δὲ Ἀγ. 571 ἀναπληροῖ τὸν στίχον ὧδε: κἂν ᾖ γαλήνη <νήνεμός θ᾽ εὕδῃ κλύδων>. Ἀλλ᾽ ἡ μνεία τοιαύτης εὐνοῦ τοῖς Αἰγυπτιάδαις περιστάσεως δὲν συνᾴδει τῷ σκοπῷ τοῦ Δαναοῦ καὶ ἡ ῥῆσις, *καὶ γαληνῷ*, ὥσπερ ἴσως ἐγέγραπτο τὴν ἀρχὴν (ἐν θαλάσσῃ . . καὶ γαληνῷ), ἤ, *κἂν γαλήνῃ*, ὥσπερ εἰκάζει ὁ Tucker, ἐνδέχεται νὰ προσετέθη ὑπὸ τοῦ Πλουτάρχου.

779 κέ. *οὐδ᾽ ἂν ἔκβασις στρατοῦ*] πολλῷ δὲ ἧττον στολὴ στρατοῦ (772). — *ἔκβασις*: ἀπόβασις.—τὸ διπλοῦν *ἄν*: ὡς 233 κέ., Πέρσ. 432 κέ. καὶ ἄλλοθι πολλαχοῦ, εἰ καὶ ἡ χρῆσις αὕτη δὲν εἶναι οὕτω συχνὴ παρ᾽ Αἰσχ., ὡς παρὰ Σοφοκλεῖ.— *γένοιτ᾽ ἂν καλή*: δύναται νὰ γένηται, νὰ φανῇ καλὴ καὶ συμφέρουσα. — *πρὶν . . θρασυνθῆναι*: Σχολ. «πρὶν καταθαρρῆσαι τῷ ὅρμῳ τὰς ναῦς» ἤτοι πρὶν εὑρεῖν ὅρμον θάρρος πρὸς τὴν ἀπόβασιν ἐμποιοῦντα. Ὁμοία μεταφορὰ ἀπὸ τῶν ναυτῶν εἰς τὰς ναῦς εὕρηται Σοφ. Φιλ. 527 χἡ ναῦς γὰρ ἄξει κοὐκ ἀπαρνηθήσεται.

781. Σὺ δὲ ὡς ταρβοῦσα πρόσεχε νὰ μὴ ἀμελήσῃς τῶν θεῶν ἤτοι μὴ παραχθῇς ὑπὸ τρόμου εἰς τὸ καταλιπεῖν τὸν βωμὸν τῶν θεῶν.— *φρόνει*: μέμνησο. Πρβ. Ὁμ. Ἰλ. 17,286 φρόνεον δὲ μάλιστα ἄστυ ποτὶ σφέτερον ἐρύειν καὶ κῦδος ἀρέσθαι. — *μέν*: ἀνήκει κυρίως πρὸς τὸ σύ, ἔλαβε δὲ τὴν τάξιν ταύτην, διότι εἰς τὸ *σὺ* προσετέθη τὸ *δέ*. — ἀ-

πράξας ἀρωγήν· ἄγγελον δ' οὐ μέμψεται
πόλις γέρονθ', ἡϐῶντα δ' εὐγλώσσῳ φρενί.

ΧΟΡΟΣ.

Ἰὼ γᾶ βοῦνι, πάνδικον σέβας, στροφ. α'.
τί πεισόμεσθα; ποῖ φύγωμεν Ἀπίας
χθονός, κελαινὸν εἴ τι κεῦθός ἐστί που;
μέλας γενοίμαν καπνὸς

*μελεῖν θεῶν*: καταλείπειν τοὺς βωμοὺς τῶν θεῶν, ὡς 733.

782. Πρὸ τοῦ στίχου τούτου ἐξέπεσεν ἔννοια τοιάδε: *ἐγὼ δὲ θᾶσσον δεῦρ' ὑποστρέψω πόδα*, εἰς ἣν προσκολλᾶται τὸ *πράξας ἀρωγὴν* (κατορθώσας βοήθειαν). Πρὸς τὸ *πράξας ἀρωγὴν* πρβ. πράσσειν εἰρήνην, φιλίαν, κατάλυσιν τοῦ δήμου. — *ἄγγελον*: Σχολ. «ἐμὲ τὸν ἀπαγγέλλοντα αὐτοῖς τὴν παρουσίαν τῶν Αἰγυπτιαδῶν».

783. *γέροντα . . φρενί*] ὄντα μὲν γέροντα κατὰ τὴν ἡλικίαν, νέον ὅμως καὶ ἡϐῶντα κατὰ τὴν εὔγλωσσον καὶ ῥητορικὴν φρένα ἤτοι κατὰ τὴν εὐγλωττίαν καὶ φρόνησιν. Ἐν ἄλλῃ ἐννοίᾳ λέγεται Ἑ. ἐ. Θ. 609 γέροντα τὸν νοῦν, σάρκα δ' ἡϐῶσαν φύει (παρὰ πᾶσαν τὴν νεότητα ἔχοντα τὴν σύνεσιν καὶ φρόνησιν τοῦ γέροντος). Ἡ ῥῆσις χαρακτηρίζει τὴν ἐκτίμησιν τῆς ῥητορικῆς ἤδη ἐπὶ τῶν τοῦ Αἰσχύλου χρόνων, καθ' οὓς οὐδὲν ἴχνος τῶν μετὰ ταῦτα ῥητόρων ὑπῆρχεν.

784 - 831 *τρίτον στάσιμον*, ἐν ᾧ ὁ χορὸς ἐκδηλοῖ τὸν μέγιστον φόϐον: Εἰς ποῖον τόπον δύναμαι νὰ καταφύγω; Εἴθε νὰ ἠρόμην ὡς καπνὸς εἰς τὰ νέφη. Ἡ ἀνακοίνωσις τούτου, ὅπερ κατώπτευσεν ὁ πατήρ, εἶναι ὁ θάνατός μου. Θὰ προετίμων τὸν δι' ἀγχόνης θάνατον ἢ νὰ προσπελάσω εἰς τὸ πλευρὸν τοῦ μισητοῦ ἀνδρός. Πῶς εἶναι δυνατὸν νὰ ἀνέϐαινον εἰς τὸν αἰθέρα ἢ εἰς ὑψηλὸν κρημνόν, ἵνα ῥίψω ἐμαυτὴν κάτω, πρὶν συνάψω δυστυχῆ γάμον. Προθύμως θὰ ἐγινόμην ἔπειτα βορὰ τῶν κυνῶν καὶ ὀρνέων· αἱρετώτερος τοῦ γάμου εἶναι εἰς ἐμὲ ὁ θάνατος. Ἐπάκουσον τῆς δεήσεώς μου, πάτερ Ζεῦ, ἀπότρεψον ἐν τῇ δικαιοσύνῃ σου τὴν βίαν, ἐλέησον τὰς ἱκέτιδας. Διώκουσι μὲν ἐμὲ οἱ υἱοὶ τοῦ Αἰγύπτου, σὺ ὅμως δύνασαι νὰ κρίνῃς περὶ πάντων. Τί δύνανται νὰ κατορθώσωσιν οἱ βροτοὶ ἐναντίον τῆς θελήσεώς σου; Διὰ τούτων ποιοῦσιν αἱ Δαναΐδες τὸν Δία ὑπεύθυνον, ἐὰν ἐκπληρώσωσιν οἱ Αἰγυπτιάδαι τὴν ἑαυτῶν ὕϐριν.

784 κἑ. *βοῦνι*] Σχολ. «ὀρεινή». Πρϐ. σημ. εἰς 123. — *πάνδικον σέϐας*: Σχολ. «δικαία σέϐεσθαι ἢ ἣν δικαίως πάντες τιμῶσιν», ἐν πλήρει δικαίῳ σεϐαστή. — *Ἀπίας*: ἔπιθι σημ. εἰς 123.

786. Ἐὰν ὑπάρχῃ που σκοτεινὸς κευθμών. — *κελαινόν*: Σχολ. «ἀφανές». Πρϐ. Ἡσ. Θεογ. 483 ἄντρῳ ἐν ἠλιϐάτῳ ζαθέης ὑπὸ κεύθεσι γαίης, Εὐρ. Μηδ. 1296 δεῖ γάρ νιν ἤτοι γῆς σφε κρυφθῆναι κάτω, ἢ πτηνὸν ἆραι σῶμ' ἐς αἰθέρος βάθος, Ἱππ. 1290 πῶς οὐχ ὑπὸ γῆς τάρταρα κρύπτεις δέμας αἰσχυνθεὶς ἢ πτηνὸς ἄνω μεταϐὰς βίοτον; Ἡρακλ. 1158 πτερωτὸς ἢ κατὰ χθονὸς μολών, Ἴων. 1297 τίνα φυγὰν πτερόεσσαν ἢ χθονὸς ὑπὸ σκοτίων μυχῶν πορευθῶ; Ἑκ. 1099 ποῖ πορευθῶ; ἀμπτάμενος οὐράνιον ὑψιπετὲς ἐς μέλαθρον . . ἢ τὸν Ἅιδα μελανοχρῶτα πορθμὸν ᾄξω τάλας;

787. Πρϐ. Ἐμπεδοκλ. 39 ὠκύμοροι καπνοῖο δίκην ἀρθέντες ἀπέπταν, Εὐρ. Τρῳά. 1320 κόνις δ' ἴσα καπνῷ πτέρυγι πρὸς αἰθέρ' ἄιστον οἴκων ἐμῶν με θήσει.

νέφεσσι γειτονῶν Διός·
τὸ πᾶν δ' ἄφαντος
ἀμπετὴς αἰόλος
κόνις ἄτερθε πτερύγων ὀροίμαν.

ἄφυκτον δ' οὐκέτ' ἂν πέλοι κακόν. ἀντιστρ. α'.
κελαινόχρως δὲ πάλλεταί μου καρδία.
πατρὸς σκοπαὶ δέ μ' εἷλον· οἴχομαι φόβῳ.
θέλοιμι δ' ἂν μορσίμου
βρόχου τυχεῖν ἐν ὀρκάναις,
πρὶν ἄνδρ' ἀπευκτὸν
τῷδε χριμφθῆν χροΐ·

788. *νέφεσσι*] ὡς φυγάδεσσιν 1054. Πρὸς τὸν ἐπικὸν τοῦτον τύπον πρβ. ὅσσας Πέρσ. 866, πέλασσον Σοφ. Φιλ. 1163, μέσσος Ο. ἐ. Κ. 1247, Τραχ. 635, Ἀντ. 1223 καὶ ἄλλοθι πολλαχοῦ. — *γειτονῶν*: ἡ μετοχὴ μεθαρμόζεται πρὸς τὸ *καπνός*, ὡς Σοφ. Ο. ἐ. Κ. 1081 εἴθ' ἀελλαία ταχύρρωστος πελειὰς αἰθερίας νεφέλας κύρσαιμ' αὐτῶν ἄνωθεν αἰωρήσασα τοὐμὸν ὄμμα πρὸς τὸ πελειάς.

789. κέ. «Σχολ. «μεταβληθείην μὴ εἰς πτηνὸν (ἡ ἑρμηνεία αὕτη ἀναφέρεται εἰς τὸ ἄτερθε πτερύγων 791), ἀλλ' εἰς ἄψυχόν τι». — *ἀμπετής*: εἰς αἰθέρα ἀναπτάς (ἀναπτάμενος). — *αἰόλος κόνις*: ὡς αἰόλος κόνις. Πρβ. Ἑ. ἐ. Θ. 481 λιγνὺν μέλαιναν, αἰόλην πυρὸς κάσιν, ἔνθα ὁ Σχολ. «τὴν εὐκίνητον καὶ ταχεῖαν», Ὁμ. Ἰλ. 19, 404 πόδας αἰόλος ἵππος. Περὶ τοῦ ἐλλείποντος ὡς πρβ. σημ. εἰς 110 κέ., 449 κέ. καὶ Πέρσ. 88 κέ. Ὁμοίαις εὐχαῖς φιληδεῖ μάλιστα ὁ Εὐριπίδης, οἷον Ἱππ. 732 ἠλιβάτοις ὑπὸ κευθμῶσι γενοίμαν χθονὸς ἤ πτεροῦσσαν ὄρνιν θεός ἔν με ποταναῖς ἀγέλαις θείη, 1290 κέ., Ἴων. 796 ἀν' ὑγρὸν ἀμπταίην αἰθέρα πόρσω γαίας Ἑλλανίας, 1238, ἀποσπ. 781, 51 ποῖ πόδα πτερόεντα καταστάσω; ἀν' αἰθέρ' ἤ γᾶς ὑπὸ κεῦθος ἄφαντον ἐξαμαυρωθῶ; καὶ ἄλλοθι.

791. *κόνις*] ἔπιθι σημ. εἰς Προμ. 1118.

792. *ἄφυκτον . . κακόν*] Δὲν δυνάμεθα πλέον νὰ φύγωμεν τὸ κακὸν ἤτοι τοὺς γάμους πρὸς τοὺς Αἰγυπτιάδας.

793. *κελαινόχρως*] Σχολ. «ἀντὶ τοῦ τεταραγμένη· ἡ μεταφορὰ ἀπὸ τῆς θαλάσσης, ἥτις ἐν τῷ ταράσσεσθαι μελαίνεται». Πολλῷ δὲ μᾶλλον ἀναμιμνήσκει ἡ λέξις τὸ ὁμηρικὸν φρένες ἀμφιμέλαιναι. Πρβ. σημ. εἰς Πέρσ. 117 μελαγχίτων φρήν, ἔτι δὲ καὶ Κριτ. ἐπισημ.

794. Σχολ. «προσκοπήσας ὁ πατὴρ καὶ σημάνας ἐτάραξεν ἡμᾶς». Τὸ *εἷλον* σημαίνει τι μᾶλλον τῆς ταραχῆς, ἤτοι ὤλεσαν καὶ ἐφόνευσαν. — *σκοπαί*: κεῖται ἐνταῦθα ἄλλως ἤ 721, σημαῖνον τὴν πρᾶξιν ἤτοι τὴν ἐπισκόπησιν.

795 κέ. *μορσίμου*] Σχολ. «μόρον μοι ἐπάγοντος». — *ὀρκάναις*: περὶ τῶν ἀγχόντων σχοινίων. Πρβ. Ἡσύχ. «ὀρκάνη· ἔνιοι κρεμάστραν. ἄλλοι σαργάνην». Καὶ ἐνταῦθα παρεδόθη *σαργάναις*, ἀλλὰ *σαργάναις* ἐναντιοῦται τῷ μέτρῳ.

797. *ἀπευκτόν*] Ἡσύχ. «ἀπευκτόν· μισητόν».

798. *χριμφθῆν*] χριμφθῆναι = προσπελασθῆναι. Περὶ τῆς ἀποκοπῆς

πρόπαρ θανούσας Ἀΐδας ἀνάσσοι.

πόθεν δέ μοι γένοιτ' ἂν αἰθέρος θρόνος, στροφ. ϛ'.
πρὸς ὃν κύφελλ' ὑδρηλὰ γίγνεται χιών,
ἢ λισσὰς αἰγίλιψ ἀπρόσ-

ταύτης ἔπιθι σημ. εἰς Ἑ. ἐ. Θ. 1070. Ἡ ῥῆσις *χριμφθῆν χροΐ* (=συγχρωτισθῆναι) δηλοῖ τὴν μεγίστην ἀποστροφὴν καὶ ἀπέχθειαν. Πρβ. Εὐρ. Μηδ. 497 φεῦ . . τῶνδε γονάτων, ὡς μάτην κεχρώσμεθα κακοῦ πρὸς ἀνδρός.—*τῷδε χροΐ*: τῷ ἐμῷ σώματι, δεικτικῶς.

799. *θανούσης* (μου) *ἀνάσσοι*] Μᾶλλον ὁ Ἅδης ἢ εἷς τῶν υἱῶν τοῦ Αἰγύπτου εἴη ὁ κύριός μου.— *πρόπαρ*: πρότερον, ἤτοι πρὶν συμβῇ τὸ *χριμφθῆν* (798), εἴη ἄρχων ἐμοῦ ὁ Ἅδης. Πρβ. Χο. 366 πάρος δ' οἱ κτανόντες νιν οὕτως δαμῆναι, καὶ κατωτέρω 812 ἐλθέτω μόρος πρὸ κοίτας γαμηλίου τυχών.

800. *πόθεν γένοιτ' ἂν*] Ἐκφράζει εὐχὴν (εἴθε γένοιτό ποθεν), οἵαν πολλάκις τὸ πῶς ἂν καὶ τίς ἂν μετὰ εὐκτικῆς. Πρβ. Ἀγ. 627 πῶς δῆτ' ἂν εἰπὼν κεδνὰ τἀληθῆ τύχοις, 1449 τίς ἂν ἐν τάχει . μόλοι κτέ., Σοφ. Ἠλ 660 πῶς ἂν εἰδείην σαφῶς, 1103 τίς οὖν ἂν ὑμῶν τοῖς ἔσω φράσειεν ἂν κτέ. καὶ πλείονα παραδείγματα παρ' Εὐριπίδῃ. —*αἰθέρος θρόνος*: πρβ. Εὐμ. 808 ἕδρας τε καὶ κευθμῶνας ἐνδίκου χθονός, Σοφ. Ο. ἐ. Κ. 45 ἕδρα γῆς τῆσδε, Φιλ. 17 ἡλίου διπλῆ . . ἐνθάκησις, Εὐρ. Ἑλ. 797 τάφου τοῦδ' ἀθλίους ἕδρας. Πρὸς τὴν ἔννοιαν πρβ. τὸν Σιβυλλιακὸν χρησμὸν παρὰ Πλουτ. Δημοσθ. 19 τῆς ἐπὶ Θερμώδοντι μάχης ἀπάνευθε γενοίμην αἰετὸς ἐν νεφέεσσι καὶ ἠέρι θηήσασθαι.

801. *πρὸς ὃν*]=ἐν ᾧ, ὡς Χο. 903 πρὸς αὐτὸν τόνδε σε σφάξαι θέλω. — *κύφελλα*: Ἡσύχ. «κύφελλα· τὰ νέφη . . ὀμίχλη». Ἡ λέξις ἀπαντᾷ παρὰ Καλλιμάχῳ καὶ Λυκόφρονι, ἐτέθη δὲ ἐνταῦθα ἐν τῷ κειμένῳ ὑπὸ τοῦ Dindorf ἀντὶ τοῦ παραδεδομένου *νέφη δ'*. Ἕτεροι γράφουσι: *νεφῶν ὑδρηλὰ* (nubium aquosa) ἢ *νέφη δίυγρα*. Ἠδύνατό τις νὰ εἰκάσῃ *τὰ κῆλ' ὑδρηλὰ* ἢ κατὰ τὸν Ἡσύχ. «ὑδρηλοί· κάθυδροι» *νέφη κάθυδρα* ἢ νὰ ἀναστρέψῃ σὺν τῷ Porson τὴν τάξιν τῶν λέξεων γράφων: *χιὼν ὑδρηλὰ γίγνεται νέφη*, ὥστε ἀσφαλὴς διόρθωσις εἶναι δύσκολον νὰ ἐξευρεθῇ. Λίαν δὲ προσφόρως εἰκάζει ὁ Burges *πήγνυται* ἀντὶ τοῦ *γίγνεται*.

802. κέ. *λισσὰς . . πέτρα*] Διὰ τῶν ἐπαλλήλων ἐπιθέτων ἐξαίρουσιν αἱ παρθένοι οὐχὶ ἄνευ τινὸς ἡδονῆς τὰς εἰς τὴν πτῶσιν προσφόρους ἰδιότητας τῆς ὑπερυψήλου πέτρας. Πρβ. Ἀγ. 202 πνοαὶ δ' ἀπὸ Στρυμόνος μολοῦσαι, κακόσχολοι, νήστιδες, δύσορμοι, βροτῶν ἄλαι, νεῶν τε καὶ πεισμάτων ἀφειδεῖς, Πέρσ. 638 βάρβαρα σαφηνῆ . . τὰ παναίολ' αἰανῆ δύσθροα βάγματα. — *λισσὰς . . πέτρα*: ὡς Εὐρ. Ἀνδρομ. 533 λισσάδος πέτρας καὶ Ὁμ. Ὀδ. 3,293 λισσὴ πέτρη. Πρβ. Ἡσύχ. «λισσόν· ἀπότομον, ὑψηλόν» καὶ Πλούτ. Κράσσ. 9 κρημνοὺς ἀποτόμους καὶ λισσάδας.— *αἰγίλιψ* (ἀπορρὼξ καὶ ἀπρόσβατος): ὁμηρικὸν ἐπίθετον ἀμφιβόλου παραγωγῆς. Ἡ ἐτυμολογία τοῦ Εὐσταθίου 733, 35 «ἥτις διὰ τὸ τοῦ ὕψους δυσανάβατον καὶ ὑπὸ αἰγὸς λείπεται» ἐξελέγχεται γελοία.—*ἀπρόσδεικτος*: ἣν οὐδεὶς δύναται δεῖξαι, ἀφανὴς καὶ δυσθεώρητος διὰ τὸ ὕψος τῆς τὰ νέφη καθικνουμένης κορυφῆς αὐτῆς. Ὁμοίως λέγει περὶ τοῦ ὄρους Ἄτλαντος ὁ Ἡρόδοτος 4, 184 ὑψηλὸν οὕτω, ὡς τὰς κορυφὰς αὐτοῦ οὐκ οἷά τε εἶναι ἰδέσθαι.— *οἰόφρων*: κατὰ προσωποποιίαν μονότροπος, μονόφρων, μονήρης καὶ

δειχτος οἰόφρων κρεμὰς
γυπιὰς πέτρα, βαθὺ
πτῶμα μαρτυροῦσά μοι,
πρὶν δαΐκτορος βίᾳ
καρδίας γάμου κυρῆσαι.

κυσὶν δ' ἔπειθ' ἕλωρα κἀπιχωρίοις    ἀντιστρ. ϛ'.
ὄρνισι δεῖπνον οὐκ ἀναίνομαι πέλειν.
τὸ γὰρ θανεῖν ἐλευθεροῦ-
ται φιλαιάκτων κακῶν·
ἐλθέτω μόρος πρὸ κοί-

ὑπερήφανος ἐπὶ τῷ ἐρήμῳ αὐτῆς ὕψει, μόνος. Τὸ ἐπίθετον τοῦτο σὺν τοῖς ἄλλοις χαρακτηρίζει τὴν τῆς φύσεως ἔννοιαν τοῦ ποιητοῦ. — *κρεμάς*: κρεμαμένη καὶ κατάντης.— *γυπιάς*: ἐν ᾗ οἱ γῦπες ὀκλάζουσιν καὶ οἰκοῦσιν. Πρβ. Plin. H. N. 10, 6 volturum praevalent nigri. Nidos nemo attingit . . nidificant in excelsissimis rupibus καὶ Ἀριστοτ. λέγοντα (ἱστ. ζ. 9, 11) ὅτι ὁ γὺψ τίκτει ἐν πέτραις ἀπροσβάτοις.

805. *βαθὺ πτῶμα μαρτυροῦσά μοι*] βαθεῖαν πτῶσιν ἐγγυωμένη μοι. Ἕτεροι ἑρμηνεύουσιν: οὖσα μάρτυς τῆς εἰς τὰ βάθη πτώσεώς μου παραβάλλοντες Ἀγ. 1316 θανούσῃ μαρτυρεῖτέ μοι τόδε.

806 κἑ. *πρὶν . . κυρῆσαι*] πρὶν τυχεῖν (ἐμὲ) παρὰ τὴν θέλησίν μου (βίᾳ καρδίας) γάμου προξένου θρήνων καὶ κοπετῶν ἤτοι πολυπενθοῦς καὶ δυστυχοῦς. Περὶ τῆς σημασίας ταύτης τοῦ *δαΐκτωρ* ἔπιθι σημ. εἰς Ἑ. ἐ. Θ. 899 κἑ. Ὅθεν οὐχὶ ὀρθῶς ἑρμηνεύει ὁ Σχολ. «τοῦ γάμου δαϊκτῆρος τῆς καρδίας μου», διότι τὸ *καρδίας* συνάπτεται τῷ *βίᾳ*, ὡς Ἑ. ἐ. Θ. 599 βίᾳ φρενῶν. Περὶ τοῦ καρδίας ἔπιθι σημ. εἰς 74.

808 κἑ. *ἔπειτα*] Μετὰ τὴν ἐκ τοῦ κρημνοῦ πτῶσίν μου.— *ἕλωρα*: Πρβ. Ὁμ. Ὀδ. 24, 292 ἐν πόντῳ φάγον ἰχθύες, ἢ ἐπὶ χέρσου θηρσὶ καὶ οἰωνοῖσιν ἕλωρ γένετ', Σοφ. Αἴ. 830 κυσὶν πρόβλητος οἰωνοῖς θ' ἕλωρ, Ἐτυμ. Μ. 332, 57 «τὸ ἕλκυσμα καὶ σπάραγμα . . τὸ τῶν κυνῶν ἕλκυσμα». Ὁ πληθυντικὸς *ἕλωρα* κεῖται ὡς ἑλώρια Ὁμ. Ἰλ. 1, 4 αὐτοὺς δὲ ἑλώρια τεῦχε κύνεσσιν οἰωνοῖσί τε πᾶσι. — *οὐκ ἀναίνομαι πέλειν*: προθύμως γίνομαι. Πρβ. Ἀγ. 1652 οὐκ ἀναίνομαι θανεῖν.

810 κἑ. *ἐλευθεροῦται*] Σχολ. «ἀντὶ τοῦ ἐλευθεροῖ». Ἐὰν τὸ κείμενον μὴ ᾖ ἐφθαρμένον, τὸ *ἐλευθεροῦται* ὀφείλει νὰ ἐκληφθῇ ὡς ῥῆμα ἀποθετικόν. Ὁ Schütz εἰκάζει: τῷ *γὰρ θανεῖν ἐλευθεροῦμαι*, πολλῷ δὲ ἐγγύτερον κεῖται *τὸ γὰρ θανεῖν ἐλευθεροῖ τοι*. Διὰ τοῦ *τοι* προσλαμβάνει ἡ ῥῆσις καθολικὴν ἔννοιαν. Πρβ. Προμ. 775, ἀπόσπ. 255, 533, Σοφ. ἀπόσπ. 636 ἀλλ' ἔσθ' ὁ θάνατος λῷστος ἰατρὸς νόσων, Τραχ. 1173, Ἠλ. 1170, Ο. ἐ. Κ. 955, Εὐρ. Ἡρακλεῖδ. 595 τὸ γὰρ θανεῖν κακῶν μέγιστον φάρμακον νομίζεται, Ἱππ. 1373, Ὀρ. 1522 καὶ ἀπόσπ. 449.— *φιλαιάκτων*: ἔπιθι σημ. εἰς 70 φιλόδυρτος.

812 κἑ. *ἐλθέτω μόρος*] Πρβ. Σοφ. Ἀντ. 1329 ἴτω ἴτω, φανήτω μόρων ὁ κάλλιστ' ἔχων ἐμοὶ τερμίαν ἄγων ἁμέραν.— *τυχών*: Σχολ. «ἐμοῦ δηλονότι». Πολλῷ μᾶλλον δὲ κεῖται ἐνταῦθα τὸ

τας γαμηλίου τυχών.
ἢ τίν' ἀμφυγᾶς πόρον
τέμνω γάμου λυτῆρα ;

ἴυζε δ' ὀμφὰν ὀρθίαν — στροφ. γ'.
μέλη θεοῖσι λιτανά,
τέλεα δὲ πῶς πελόμενά μοι
λύσιμα μαχᾶν ; ἔπιδε πάτερ,
βίαια μὴ φαιδροῖς ὁρῶν
ὄμμασιν ἐνδίκοις. σεβί-
ζου δ' ἱκέτας σέθεν, γαι-
άοχε παγκρατὲς Ζεῦ.

γένος γὰρ Αἰγύπτιον ὕβριν — ἀντιστρ. γ'.

*τυχών* ὡς Πέρσ. 708 ἀνθρώπεια δ' ἄν τοι πήματ' ἂν τύχοι (συμβαίη) βροτοῖς, Προμ. 362 θέλοιμ' ἂν ὡς πλείστοισι πημονὰς τυχεῖν. Πρβ. 799.

814 κἑ. Ἢ τίνα ὁδὸν τῆς ἐκφυγῆς καὶ τῆς τοῦ γάμου ἀπαλλαγῆς ὀφείλω νὰ τέμω ; Πρὸς τὸ *πόρον τέμνειν* πρβ. *ὁδὸν τέμνειν*, Ἀριστοφ. Θεσμοφ. 1099 διὰ μέσου γὰρ αἰθέρος τέμνων κέλευθον κτἑ., Εὐρ. Ῥῆσ. 422 εὐθεῖαν λόγων τέμνων κέλευθον.

816. Ἐν τῇ παρούσῃ ἀμηχανίᾳ αὐτῶν οὐδαμοῦ ἐνορῶσαι αἱ παρθένοι σωτηρίαν καὶ βοήθειαν ἀποτείνουσι πάλιν πρὸς τὸν Δία θρήνους.— *ἴυζε δ' ὀμφάν*: πρβ. Πέρσ. 283 ἴυζ' ἄποτμον . . βοάν. — *ὀρθίαν*: περὶ τοῦ ὀξέος καὶ ὑψηλοῦ ἤχου τῆς βοῆς, ὡς Πέρσ. 392 ὄρθιον δ' ἅμα ἀντηλάλαξε νησιώτιδος πέτρας ἠχώ, Χο. 747 ὀρθίων κελευμάτων.

817. *μέλη λιτανὰ*] μελῳδίας (θρηνῳδίας) λιτανευτικάς, ἐν παραθέσει πρὸς τὸ *ὀμφὴν ὀρθίαν*. Πρβ. Σχολ. « ἐπεξηγήσατο ὀμφάν· ἑαυταῖς δὲ παρακελεύονται ». — *λιτανά*: Σχολ. « λιτανευτικά ». Πρβ. Ἑ. ἑ. Θ. 99 λιτανά.— *θεοῖσι*: ἤρτηται ἐκ τοῦ ἴυζε. Πρβ. 884 ἴυζε καὶ λάκαζε καὶ κάλει θεούς.

818 κἑ. Αἵτινες ὅμως πῶς δύνανται νὰ ἐκπληρωθῶσι καὶ ἀπαλλάξωσι τῶν μαχῶν; Ἐν τῷ ἀπελπισμῷ δὲν πιστεύουσιν αἱ παρθένοι, ὅτι δύνανται νὰ ἐκπληρωθῶσιν αἱ δεήσεις αὐτῶν, τοῦ εἰς μάχην ἑτοίμου στρατοῦ ὄντος ἐγγύς.— *ἔπιδε*: ἔπιθι σημ. εἰς Ἑ. ἑ. Θ. 472.

820 κἑ. Ἔπιδε τὰς βιαιότητας οὐχὶ ἐν φαιδρᾷ ὄψει τῶν δικαίων ὀφθαλμῶν σου. Πρβ. φαιδροῖσι . . ὄμμασι Ἀγ. 525.

822 κἑ. *σεβίζου*] ὡς 649 αἰδοῦνται ἱκέτας Διός. Ἡ λέξις ἐξαναγκάζει πως τὸν ἅγιον καὶ δίκαιον θεὸν εἰς ἀκρόασιν τῶν ἱκεσιῶν αὐτῶν. — *γαιάοχε παγκρατές*: Σχολ. « ὁ πάσης γῆς κρατῶν Ζεῦ ». Ἡ μία αὕτη ἰδιότης ἐχωρίσθη εἰς δύο αὐτοτελεῖς ἰδιότητας.— *γαιάοχος*: Ἡσύχ. « ὁ τὴν γῆν συνέχων ».

824 κἑ. *γένος Αἰγύπτιον*] γένος τοῦ Αἰγύπτου, ὡς Κρόνιε παῖ Προμ. 600. — *ὕβριν δύσοιστον*: ἀφόρητον καὶ μὴ ἀνεκτὸν κατὰ τὴν ὕβριν. — Ἐὰν τὸ κείμενον μὴ ᾖ ἐφθαρμένον, τότε ἡ ἐλ-

δύσοιστον ἀρσενογενὲς
μετά με δρόμοισι διόμενοι
φυγάδα μάταισι πολυθρόοις
βίαια δίζηνται λαβεῖν.
σὸν δ' ἐπίπαν ζυγὸν ταλάν-
του. τί δ' ἄνευ σέθεν θνα-
τοῖσι τέλειόν ἐστιν;

λειψις τῆς πρὸς τὴν στροφὴν μετρικῆς συμφωνίας τοῦ *Αἰγύπτιον* δύναται νὰ συγχωρηθῇ διὰ τοῦ κυρίου ὀνόματος.— *ἀρσενογενές*: πρβ. 32 ἀρσενοπληθῆ δ' ἑσμὸν ὑβριστὴν Αἰγυπτογενῆ.

826 κέ. *μεταδιόμενοι* (Σχολ. «διώκοντες») *δίζηνται* (ζητοῦσιν)] διότι *Αἰγύπτιον γένος* κείμενον κατὰ σύνεσιν σημαίνει οἱ Αἰγύπτου παῖδες. — *δρόμοισι*: δρομαίως διώκοντες.—*φυγάδα*: φυγοῦσαν. — *μάταισιν*: Σχολ. «ταῖς ζητήσεσιν». Πρβ. ματεύω. — *πολυθρόοις*: ταραχώδεσι, κατὰ μεταφορὰν τῶν ἐν βοῇ καὶ ὑλακαῖς τῶν κυνῶν διωκόντων τὰ θηρία κυνηγῶν. Ἠδύνατό τις νὰ εἰκάσῃ *μάταισι πολυδρόμοις*, μᾶλλον δὲ *μάταισι πολυπλάνοις*. — *βίαια*: ἐπιρρηματικῶς = βιαίως.—*δίζηνται*: ἐπικὴ λέξις.

829. *σὸν ζυγὸν ταλάντου*] = σοῦ ζυγὸν ταλάντου, διότι *ζυγὸν ταλάντου* ἀποτελεῖ ἑνιαίαν ἔννοιαν. Πρὸς τὸ *ταλάντου* πρβ. Ὁμ. Ἰλ. 8, 69 καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα, 16, 658 γνῶ γὰρ Διὸς ἱρὰ τάλαντα, 19, 223 κλίνῃσι τάλαντα Ζεύς, Θεόγν. 157 Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιρρέπει ἄλλοτε ἄλλως. — *ἐπίπαν*: Σχολ. «ἴσον ἐπὶ πάντων». Περὶ τοῦ ἐπιθέτου τούτου ἔπιθι σημ. εἰς Πέρσ. 43. Ὁ δὲ ζυγὸς τῆς πλάστιγγός σου ἴσος ἐπὶ πάντων κεῖται ἐν τῇ χειρί σου, ἤτοι ἡ τύχη πάντων ζυγοστατεῖται ἴσως ὑπὸ σοῦ, ἀπὸ τῆς βουλῆς σου ἤρτηται ἡ τύχη πάντων.

830 κέ. Πρβ. Ἀγ. 1488 τί γὰρ βροτοῖς ἄνευ Διὸς τελεῖται;

832 - 1028 *τέταρτον ἐπεισόδιον*: 1ον) Αἱ Δαναΐδες ἰδοῦσαι μετὰ τρόμου τὸν προσερχόμενον κήρυκα καταφεύγουσιν εἰς τὸν βωμόν. Ὁ κῆρυξ ἐλθὼν ὀνειδίζει ταῖς παρθένοις (832-855). 2ον) Κομμὸς (856-921), ταραχώδης σκηνή, ἐν ᾗ ὁ κῆρυξ τῶν Αἰγυπτιαδῶν ἐν ἀπειλαῖς καὶ βίᾳ προτρέπει τὰς Δαναΐδας νὰ ἀκολουθήσωσιν αὐτῷ εἰς τὰ πλοῖα. 3ον) Ὁ βασιλεὺς ἀποπέμπει τὸν κήρυκα, κηρύσσοντα πρὸ τῆς ἀπελεύσεως αὐτοῦ τὸν πόλεμον. Ὁ βασιλεὺς λέγει ταῖς Δαναΐσιν νὰ κατοικήσωσιν ὅπου τῆς πόλεως ἤθελον (922-976). 4ον) Αἱ Δαναΐδες θέλουσι νὰ ἐρωτήσωσι περὶ τούτου τὸν ἑαυτῶν πατέρα καὶ κελεύουσι τὰς ἑαυτῶν θεραπαινίδας νὰ ταχθῶσι περὶ αὐτὰς (977-990). 5ον) Ὁ Δαναὸς ἔρχεται φέρων φρουράν, ἵνα ἀγάγῃ τὰς θυγατέρας εἰς Ἄργος (991-1028). — Τὸ μέρος 832-913 παρεδόθη ἐν λίαν ἐφθαρμένῃ καταστάσει, ὥστε πολλαχοῦ μόλις ἡ ἔννοια τοῦ ἀρχεγόνου κειμένου δύναται νὰ εἰκασθῇ. Πλὴν Περσ. 678-680 ἐν παντὶ τῷ Αἰσχύλῳ οὐδὲν εὐτυχῶς χωρίον ὑπάρχει ἔχον οὕτως ἐφθαρμένον κείμενον. Ἡ αἰτία τούτου ἀνάγεται κυρίως εἰς τὸ χειρόγραφον αὐτοῦ τοῦ ποιητοῦ, ὥστε συνάγεται ἐκ τούτου, ὅτι τὰ δύο ταῦτα δράματα δὲν διεσκευάσθησαν, ὥσπερ τὰ λοιπά. Πρβ. Wecklein, Ueber die Textüberlieferung des Aeschylos ἐν τοῖς Sitzungsb. der Münch. Akad. d. Wiss. 1888 τόμ. 2 σελ. 347 καὶ ἑξῆς.

1 Ο' ό ό ά ά ά.
ὅδε μάρπτις νάϊος γάϊος.
2 τῶν πρό, μάρπτι, κάμνοις.
3 ἰὼ ἐν ὀφθαλμοῖς κλίμακας ναΐας
ἰδοῦσα νῦν βοὰν ἀμφαίνω.
4 ὁρῶ τάδε φροίμια [πράξαν] πόνων
βιαίων ἐμῶν. ἠὲ ἠέ.
5 βαῖνε φυγᾷ πρὸς ἀλκάν·

832 κέ. Ὥσπερ ἡ μὴ στροφικὴ καὶ ἀντιστροφικὴ κατασκευὴ τοῦ χορικοῦ τούτου, οὕτω καὶ ἡ ἔννοια μηνύει, ὅτι εἷς χορευτὴς ἢ συζυγία δυοῖν κατὰ διαδοχὴν διαλέγεται. Ἀλλ' ὅμως οὐ μόνον περὶ τοῦ κειμένου, ἀλλὰ καὶ περὶ τῆς ἐκτάσεως ἑκάστου μέρους τοῦ χορευτοῦ οὐεδμία ἀσφάλεια ὑπάρχει. Μόνον παραδείγματος χάριν ἐτέθησαν ἐν τῷ κειμένῳ ἀριθμοί. Εἰς τὰς ἐν ἀρχῇ ἐπιφωνήσεις σημειοῦται ὁ Σχολ. «ταῦτα μετά τινος πάθους ἀναβοῶσιν, ἐξ ἀπόπτου τοὺς Αἰγυπτιάδας ἰδοῦσαι». Ἴσως τὸ πρῶτον δύο Δαναΐδες μνήμονες τοῦ κελεύσματος τοῦ Δαναοῦ (733, 738 κέ., 781) ἀνέβησαν τὸν βωμόν, ἔνθεν προσέβλεπον τὴν θάλασσαν, αἱ δὲ ἄλλαι ἠκολούθησαν εἶτα αὐταῖς ἀνὰ δύο.

833 κέ. *ὅδε μάρπτις*] Περὶ τοῦ μετὰ ταῦτα φαινομένου κήρυκος. Σχολ. «ὁ ἐλθὼν ἐπὶ τὸ μάρψαι ἡμᾶς» ἀκριβέστερον τοῦ Ἡσυχ. «μάρπτις· ὑβριστής». — *νάϊος, γάϊος*: Σχολ. «ὁ πρώην μὲν ἐπὶ νηός, νῦν δὲ ἐπὶ γῆς γεγονώς». Διὰ τῆς ῥήσεως ταύτης δηλοῦται ἡ ταχύτης. Ἰδοὺ ὁ ἅρπαξ νῦν ἔτι ἐν τῷ πλοίῳ καὶ νῦν ἤδη ἐν τῇ γῇ.

836. *τῶν . . κάμνοις*] Σχολ. «πρότερον θάνοις, ὦ μάρπτι, πρὶν ἡμᾶς συλλαβεῖν». Ὅθεν τὸ *πρὸ τῶν* ἀναφέρεται εἰς τὴν ἐν τῷ *μάρπτις* περιεχομένην ἔννοιαν: ἔρχεσαι, ἵνα συλλάβῃς ἡμᾶς· πρότερον εἴθε νὰ ἀποθάνῃς, ὦ θέλων νὰ συλλάβῃς.

837 κέ. Οἴμοι· ἰδίοις ὄμμασιν εἶδον τὰς πρὸς ἀπόβασιν χρησίμους ναυτικὰς κλίμακας καὶ ἐκπέμπω διὰ τοῦτο μεγάλην φωνὴν πρὸς βοήθειαν. Σχολ. «οὐκέτι παρὰ τοῦ πατρὸς ἀκούσασα, ἀλλ' αὐτόπτης γενομένη βοῶ». Πρὸς τὸ *ἐν ὀφθαλμοῖς ἰδοῦσα* πρβ. *ἐν ὀφθαλμοῖς ὁρᾶν* Σοφ. Ἀντ. 764, ἐν ὄμμασιν ὁρᾶν Τραχ. 241. — *κλίμακας*: Πρβ. Εὐρ. Ἰφ. τ. ἐ. Τ. 1351 οἳ δὲ κλίμακας πόντῳ διδόντες τοῖν ξένοιν (πρὸς ἐπίβασιν). — *βοὴν ἀναφαίνω*: πρβ. Εὐμ. 572 σάλπιγξ . . ὑπέρτονον γήρυμα φαινέτω στρατῷ, Σοφ. Φιλ. 201 προυφάνη κτύπος, Ἀντ. 621 κλεινὸν ἔπος πέφανται.

841 κέ. Ὁρῶ ἐν τούτοις τὸ προοίμιον (τὴν ἀρχὴν) τῆς κατ' ἐμοῦ βιαιοπραγίας. Πρὸς τὸ *φροίμια* πρβ. Ἀγ. 1214 ὑπ' αὖ με δεινὸς ὀρθομαντείας πόνων στροβεῖ ταράσσων φροιμίοις. Τοῦ ἀνωφελοῦς καὶ ἀχρήστου *πράξαν* οὐδεμία διόρθωσις εὑρέθη. Ἡ γραφὴ τοῦ Turnebus *πρόξενα* οὐδεμίαν δυσχέρειαν ποιεῖται ἐκποδών, ὁ δὲ Hermann ἐξήλειψε τὸ *πράξαν*, ὅπερ προῆλθεν ἴσως ἐκ τοῦ *ἄρξαντα*, ὄντος γλωσσήματος τοῦ *φροίμια*. Ἡ ἀπόβασις τοῦ κήρυκος εἶναι ἡ ἀρχὴ τῶν βιαίων τῶν Δαναΐδων δυστυχημάτων ἤτοι τῶν ἀπειλῶν τοῦ κήρυκος (852 κέ.).

845. *βαῖνε*] Οὕτω βοᾷ τὸ παρατελευταῖον ἴσως ζεῦγος τοῦ χοροῦ πρὸς τὸ κάτωθεν τοῦ βωμοῦ ὑπολειπόμενον τελευταῖον ζεῦγος. — *πρὸς ἀλκάν*: Σχολ. «πρὸς τὴν τῶν θεῶν ἀλκήν» ἤτοι τοὺς βωμοὺς τῶν θεῶν. Πρβ. 739 ἀλκῆς τῆσδε.

SLUB Wir führen Wissen.
UNIVERSITÄT LEIPZIG

βλοσυρόφρονα χλιδᾷ
δύσφορα ναὶ κὰν γᾷ.
6 γᾶς ἄναξ, προτάσσου.

ΚΗΡΥΞ.

σοῦσθε σοῦσθ' ἐπὶ βᾶ-
ριν ὅπως ποδῶν.
ὀκνεῖν ὀκνεῖν
τιλμὸν τιλμὸν καὶ στιγμὸν
πολύαιμον φόνιόν τ'
ἀποκοπὰν κρατός.
σοῦσθε σοῦσθ' ὀλοαὶ μέγ' ἐπ' ἄμαλα.

ΧΟΡΟΣ.

εἶθ' ἀνὰ πολύρυτον στροφ. α'.

846 κέ. Τὸ ἀσύνδετον ἐν τῇ αἰτιολογίᾳ (βλοσυρόφρονα γάρ).— *βλοσυρός*, *βλοσυρῶπις*: εἶναι ὁμηρικαὶ λέξεις. Πρβ. Ἡσύχ. «βλοσυρόν· φοβερόν, καταπληκτικόν». Ἡ ἔννοια οὖσα γενικὴ προσλαμβάνει διὰ τοῦ *ναὶ* τοπικὸν χαρακτῆρα. Τὸ ἐν τῇ ἑαυτοῦ τρυφῇ ἄγρια καὶ φοβερὰ φρονοῦν εἶναι ἀφόρητον ἔν τε τῇ θαλάσσῃ καὶ τῇ γῇ καὶ πανταχοῦ ὀφείλει τις νὰ ἀποφύγῃ αὐτό. —*ναὶ κὰν γᾷ*=ἐν ναῒ καὶ ἐν γᾷ. Πρβ. Σοφ. Ο. Τ. 734 Δελφῶν κἀπὸ Δαυλίας. Ἀντ. 1176 πότερα πατρῴας ἢ πρὸς οἰκείας χερός; Εὐρ. Φοιν. 361 τάρβος ἐς φόβον τ' ἀφικόμην καὶ σημ. εἰς Πέρσ. 495.

848. Ἄναξ τῆς χώρας, ὑπερμάχησον ἡμῶν. Σχολ. «ὦ Πελασγέ, πρὸ ἡμῶν παράταξαι».

849 κέ. Ἡσύχ. «σοῦσθε· ἴτε, ὁρμᾶτε».— *βᾶριν* = πλοῖον. Πρβ. σημ. εἰς Πέρσ. 556.— *ὅπως ποδῶν*: Σχολ. «ὡς ἔχετε τάχος ποδῶν». Πρβ. Ἡρόδ. 6, 116 ὡς ποδῶν εἶχον ἐβοήθεον ἐς τὸ ἄστυ, Πλάτ. Γοργ. σελ. 507 D ἀκολασίαν φευκτέον ὡς ἔχει ποδῶν ἕκαστος ἡμῶν. Ἡ ἔλλειψις τοῦ *ἔχετε* εἶναι ἀσυνήθης.

851 κέ. *ὀκνεῖν*: κεῖται προστακτικῶς: Ἀναμείνατε τιλμὸν τῶν τριχῶν καὶ πολὺ αἷμα προξενοῦντα νυγμὸν καὶ θανατηφόρον (φονικὴν) ἀποκοπὴν τῆς κεφαλῆς.— *στιγμόν*: μάλιστα τὰς τῶν παρειῶν ἀμυχάς.

855. *μέγ' ὀλοαί*] = ὀλοώταται, ὀλεθριώταται. Πρβ. 147 σεμνᾶς μέγα. — *ἄμαλα*: ναῦν (ἀπὸ ἀχρήστου ὀνομαστικῆς ἄμαλς). Ἡσύχ. «ἄμαλα· τὴν ναῦν, ἀπὸ τοῦ ἀμᾶν τὴν ἅλα. Αἰσχύλος Πρωτεῖ σατυρικῷ». Ἡ λέξις εἶναι ἀγνώστου καταγωγῆς.

856 - 921 *κομμός*, ἐν ᾧ αἱ ῥήσεις τοῦ κήρηκος ἐν τῷ πρώτῳ στροφικῷ συστήματι εἶναι μελικαί, ἐν τῷ δευτέρῳ καὶ τρίτῳ ἀποτελοῦνται ἐκ τριῶν, ἐν δὲ τῷ τετάρτῳ ἐκ δύο τριμέτρων. Τὰ τρία πρῶτα στροφικὰ συστήματα ἐξαγγέλλουσιν, ὡς φαίνεται, οἱ τρεῖς στοῖχοι, τὰ δὲ ἐφύμνια 900-903, 910-913 καὶ τὸ τέταρτον στροφικὸν σύστημα σύμπας ὁ χορός.

856 κέ. *πολύρυτον*] πολυκύμαντον. Ἡ κίνησις τῶν ἁλμυρῶν κυμάτων ὤφελε νὰ συντελέσῃ εἰς καταστροφήν.— *ἁλμήεντα πόρον*: ἁλμυρόν, θαλάσσιον πόρον, θάλασσαν. Ἐπειδὴ ἐν τῷ *ἁλμήεντα* ἀντιστοιχεῖ σπονδεῖος εἰς δάκτυλον τῆς ἐν στίχῳ 867 λέξεως, ὁ

ἁλμήεντα πόρον
δεσποσίῳ ξὺν ὕβρει
γομφοδέτῳ τε δόρει διώλου. 859
κελεύω βίας σε μεθέσθαι 862
γλίχαρ, φρενὸς ἄταν. 863

ΚΗΡΥΞ.

δίαιμόν σ᾽ ἐς ἄμαλ᾽ ἥσω σύδην· 860
ἀπιτέ᾽, ἀπιτέα. 861
ἰὼ ἰώ, 863
λεῖφ᾽ ἕδρανα, κί᾽ ἐς δόρυ,
ἀτίετ᾽ ἀνὰ πόλιν εὐσεβῶν. 865

ΧΟΡΟΣ.

μήποτε πάλιν ἴδοιμ᾽ ἀντιστρ. α΄.
ἀλφεσίβοιον ὕδωρ,

Hermann εἴκασεν *ἁλμιόεντα*. Ἀλλ᾽ ὁ τύπος οὗτος εἶναι ἐπισφαλής.

858 κέ. *δεσποσίῳ ξὺν ὕβρει*] σὺν τοῖς ὑβρισταῖς δεσπόταις, κειμένου τοῦ ἀφῃρημένου ἀντὶ τοῦ συγκεκριμένου.— *ξύν*: ὡς 32. — *γομφοδέτῳ δόρει*: γομφοδέτῳ πλοίῳ. Πρὸς τὸ *γομφοδέτῳ* πρб. γομφοπαγὴς Ἀριστοφ. Βατρ. 824 καὶ ἄνω 449 γεγόμφωται σκάφος. — *διώλου*: ὁ χορὸς εὔχεται τῷ τε κήρυκι καὶ τοῖς ὑβρισταῖς αὐτοῦ δεσπόταις, τοῖς Αἰγυπτιάδαις, καταποντισμόν. — *γλίχαρ*: ἐπιθυμίαν. Κελεύω σε νὰ ἀποβάλῃς τὴν ἐπιθυμίαν πρὸς βίαν, τὴν ταράττουσαν τὰς φρένας.

860 κέ. Τὸ κείμενον τῶν στίχ. τούτων εἶναι λίαν ἐπισφαλές.— *δίαιμον.. ἥσω*: αἱματόφυρτον βαλῶ σε εἰς τὸ πλοῖον.— Ἡσύχ. «σύδην· ταχέως καὶ ὁρμητικῶς».— *ἀπιτέα*: ἀντὶ *ἀπιτέον*, ὡς Σοφ. Ἀντ. 677 ἀμυντέ᾽ ἐστι, 678 ἡσσητέα καὶ ἄλλοθι πολλαχοῦ, μάλιστα δὲ παρὰ Θουκυδίδῃ. — *λεῖφ᾽ ἕδρανα*: Σχολ. «κατάλειπε τοὺς βωμούς». *κίε* (= ἄγε, πορεύου) καὶ Πέρσ. 1069. — *ἀτίετα*: ἀναφέρεται εἰς τὸ *ἕδρανα* ἐν τῇδε τῇ ἐννοίᾳ: πορεύου εἰς τὸ πλοῖον λείπουσα τοὺς τῶν θεῶν βωμούς, οἵτινες ἐν τῇ πόλει τῶν εὐσεβῶν (ἐν Αἰγύπτῳ) εἶναι ἀτίμητοι (διότι οἱ Αἰγύπτιοι τιμῶσιν ἑτέρους θεούς, καθὰ ἐπαναλαμβάνει τοῦτο ὁ κῆρυξ 904 κέ. καὶ 933). Ἐν τούτοις κεῖται ἡ ἔννοια: Ἐλθὲ εἰς τὸ πλοῖον, ὅπερ μέλλει νὰ σὲ ἀγάγῃ εἰς τὸν ἀληθῆ τόπον τῶν θεῶν: εἰς ἣν προσκολλῶνται αἱ λέξεις τοῦ χοροῦ: Μήποτε ἴδοιμι πάλιν τὸ τοῦ Νείλου ὕδωρ, καίπερ ὂν λίαν συντελεστικὸν τῇ αὐξήσει. Πρὸς τὴν παρεμπίπτουσαν πρότασιν *κί᾽ ἐς δόρυ* πρб. Εὐρ. Κύκλ. 121 σπείρουσι δ᾽, ἢ τῷ ζῶσι, Δήμητρος στάχυν;

867. *ἀλφεσίβοιον ὕδωρ*] Σχολ «τὸ ζωοποιοῦν τὰ θρέμματα ἢ ἔντιμον, μεταφορικῶς· λέγει δὲ τὸ τοῦ Νείλου». Ἕνεκα τοῦ ὁμηρικοῦ *ἀλφεσίβοιος* (ὡς προῖκα τοῖς γονεῦσιν βοῦς φέρων, Ἰλ. 18,593 παρθένοι ἀλφεσίβοιαι) ἠδύνατό τις νὰ εἰκάσῃ ἐνταῦθα *ἀλδεσίβοιον* (τὴν αὔξησιν καὶ ἐπίδοσιν τῶν βοῶν προάγον). Πάντως ὀφείλει τις νὰ μὴ ἐκλάβῃ τὸ *ἀλφεσίβοιον* μεταφορικῶς (ἔντιμον). Σημειωτέον δέ, ὅτι *ἀλφεσίβοιον ὕδωρ* μετεχειρίσατο καὶ Ἀλέξ.

ἔνθεν ἀεξόμενον
ζώφυτον αἷμα βροτοῖσι θάλλει.
γεγείους ἔχω βαθυχαίους
βάθρων, γέρον, ἕδρας.

ΚΗΡΥΞ.

σὺ δ' ἐν ναΐ ναΐ βάσῃ τάχα
θέλεος ἀθέλεος.
βίᾳ βίᾳ
φροῦδα βατέα βαθμίδων,
ἀπάλαμα πρόκακα πρὶν παθεῖν.

ὁ Αἰτωλ. παρὰ Παρθεν. Ἐρωτ. 14 οὐδὲ Μελίσσῳ Πειρήνης τοιόνδ' ἀλφεσίβοιον ὕδωρ θηλήσει μέγαν υἱόν. Πρὸς τὴν ἔννοιαν πρβ. Πέρσ. 34 πολυθρέμμων Νεῖλος, Αἰλ. π. ζῴων 3, 33 αἱ δὲ Αἰγύπτιαι (αἶγες) ἔστιν αἳ πέντε ἀποτίκτουσι καὶ αἱ πλεῖσται δίδυμα. λέγεται δὲ αἴτιος ὁ Νεῖλος εἶναι, εὐτεκνότατον παρέχων ὕδωρ.

868. κέ. Ἐξ οὗ (ἔνθεν) ἐνδυναμούμενον (ἐπιρρωνύμενον) καὶ ζωτικὴν ἰσχὺν προσλαμβάνον (ζωογονούμενον) θάλλει τοῖς βροτοῖς τὸ αἷμα. Σχολ. «ἀρρενογόνον γὰρ τὸ ὕδωρ τοῦ Νείλου· ὅθεν Ζεὺς πιὼν ἔτεκεν Ἄρεα». Πρβ. Στράβ. 15 σελ. 695 καὶ τὸν Νεῖλον δ' εἶναι γόνιμον μᾶλλον ἑτέρων καὶ μεγαλοφυῆ γεννᾶν καὶ τἆλλα καὶ τὰ ἀμφίβια· τάς τε γυναῖκας ἔσθ' ὅτε καὶ τετράδυμα τίκτειν τὰς Αἰγυπτίας, Πλούτ π. Ἴσ. κ. Ὀσ. σελ. 353 Α οὐδὲν οὕτω τίμιον Αἰγυπτίοις ὡς ὁ Νεῖλος· ἀλλὰ πιαίνειν δοκεῖ καὶ μάλιστα πολυσαρκίαν ποιεῖν τὸ Νειλῷον ὕδωρ πινόμενον.

870 κέ. Τὴν ἕδραν ἐπὶ τῶν βαθμίδων τοῦ βωμοῦ ἰδιοποιοῦμαι, ὦ γέρον, ἐκ παλαιῶν χρόνων, διότι ἔχω τὸ γένος ἐκ ταύτης τῆς χώρας. Πρὸς τὸ γεγείους πρβ. Σουΐδ. «γεγεῖαι βόες· αἱ ἀρχαῖαι» καὶ Στέφ. Βυζ. «γῆ ἀπὸ γέα κρανθέν· ἀφ' οὗ τὸ γέγειος κτητικὸν πλεονασμῷ τοῦ γε». — *βαθυχαίους*: Σχολ. «βαθυχαῖος ἢ μεγάλως εὐγενής· χάοι γὰρ οἱ εὐγενεῖς», Ἡσύχ. «χάιος· ἀγαθός», Ἀριστοφ. Λυσ. 91 χαΐα ναὶ τὼ σιώ (Σχολ. «ἀντὶ τοῦ ἀγαθή», 1157 χαϊωτέραν (Σχολ. «ἀγαθωτέραν»).

873 κέ. *σὺ δὲ . . ἀθέλεος*] Ἐγὼ δὲ λέγω σοι· ταχέως θὰ μεταβῇς εἰς τὸ πλοῖον, ναὶ εἰς τὸ πλοῖον, ἑκοῦσα ἄκουσα. — *θέλεος ἀθέλεος* (= θέλουσα καὶ μὴ θέλουσα). Οἱ τύποι οὗτοι ἀπαντῶσι μόνον ἐνταῦθα. Ἡ ῥῆσις εἶναι παροιμιακή (nolens volens). Πρβ. Ἑ. ἐ. Θ. 414 θεοῦ . . θέλοντος . . καὶ μὴ θέλοντος, Εὐρ. Ἱκ. 499 θεοῦ θέλοντος ἤν τε μὴ θέλῃ, Ἰφ. τ. ἐ. Α. 1271 κἂν θέλω κἂν μὴ θέλω, Ἑκ. 566 οὐ θέλων τε καὶ θέλων (Ὁμ. Ἰλ. 4, 43 ἑκὼν ἀέκοντί γε θυμῷ), Σοφ. Φιλ. 1298 ἐάν τ' Ἀχιλλέως παῖς ἐάν τε μὴ θέλῃ, Ἀριστοφ. Ἐκκλ. 981 ἄν τε βούλῃ γ' ἄν τε μή.

